(355) Schol. in C et Anecd. Oxon. t. 3, p. 376 : τῆς Μενελάου γὰρ (An. sine γὰρ) καὶ Ἀγαμέμνονος μητρὸς Ἀερόπης καὶ Κλυμένης (C, κεκλυμένης) τῆς μητρὸς Παλαμήδους πατὴρ ἦν ὁ Κρατρεὺς ἐκ Κρήτης τῆς νήσου. Vide Schol. ad v. 967. A, κρατεῖ. C, κατρεῖ. Quæ vera est nominis lectio. Sic variatur κατρέως et κρατέως in Scholiis Tzetzæ ad Lyc. 383. Tzetzes Exeges. l. l. : οὗτος δ' ἐς Κρήτην ἐκπλέων ἐπὶ θυσίᾳ τοῦ Κατρέως Διὸς, προγόνου ἰδίου τυγχάνοντος. Ad nomen Διὸς offendo. Fortasse Κατρέως τοῦ Μίνωος τοῦ Διός. Potuit nomen ἰδίου bis scriptum mendum parere.

καὶ τούτῳ δὲ τὰ γράμματα παρέσχε καὶ τὰ δῶρα.
Ὁ δὲ Μενέλαος, λαβὼν τὰ δύσδωρα τάδῶρα,
Αὐτὸς πρὸς Κρήτην ἔπλευσεν ἕνεκα τῆς θυσίας,
Ἀλέξανδρον τὸν Πάριν δὲ κατέλειψε τοῖς οἴκοις,
τριάκοντα καὶ δύο μὲν ὑπάρχοντα τῶν χρόνων,
ὡραῖον πάνυ καὶ λευκὸν, εἰς ἡλικίαν οἶον,
*χρυσότριχα, δασύτριχα, καὶ τῶν ἁβροβοστρύχων,**
χαροπεπρόσωπον πολὺ, καὶ ὑπομειδιῶντα,
συντομολόγον, εὔλαλον, τῷ τάχει δὲ τῶν λόγων,
πολλάκις ἀποπτύοντα λεπτότατον σιέλον,
κατὰ τὰς ὄρνεις ἃς φαμὲν κλῆσιν ἀκανθυλλίδας·
ὃς τὴν Ἑλένην κατιδὼν τὸ δειλινὸν ἐν κήπῳ
μετὰ δουλίδων τῶν αὐτῆς καὶ γυναικῶν ἑτέρων,
εἰκοσιὲξ ὑπάρχουσαν χρόνων τὴν ἡλικίαν
κάλλος οὖσαν ἀμίμητον, ξένην τὴν ἡλικίαν,
ὑπὲρ χιόνα δὲ λευκὴν, καὶ τρυφερὰν τὸ σῶμα,
εὐπρόσωπον καὶ εὔρινα, καὶ τῶν καλλιοφρύων,

(357) Abest ab A. In C est additus ad marginem et a prima manu. Exstat in Excerptis Burgessii p. 74, cum eodem numero 357. De duplici articulo ad 342.

(362) ἁβροβοστρύχων] Tzetzes Chil. 1, 230, de Orpheo : ἐρασιπλόκαμος, ὢν τῶν ἁβροβοστρύχων. Conf. 372.

(363) A B, καὶ ὡς ὑπ. C. et Burg. sine ὡς, quod metro nocet.

(364) A B C, τάχει τῷ. Burg., ταχει δε.

(365) A B, λεπτότητα. C et Burg. λεπτότατον.

(366) ἀκανθυλλίδας] Schol. in C et in Anecd. Oxon. t. 3, p. 377 : τοὺς στραγγαλίνους, παρὰ τὸ ἐν ἀκάνθαις διάγειν. Στραγγαλῖνοι δὲ διὰ τὸ ποικίλον λέγονται ἀπὸ ῥωμαϊκῆς ἐσθῆτος λεγομένης στραγγαλίας, ἢ μᾶλλον τοὐναντίον ἡ ἐσθὴς ἀπὸ τῶν ζώων ἐκλήθη. In Anecd. est στραγαλίνους, στραγαλῖνοι. Et Corayus quidem Atactis 4, p. 77 scribit στραγαλῖνος post Bellonium et Cangium. Bellonius enim Observ. 1, c. 11, p. 31 versionis latinæ : « veterum pikilis [ποικιλὶς « scilicet], sive Latinorum carduelis et « Gallorum *chardonneret*, ab illis car« dueli [fortasse καρδέλι] aut straga« lino [στραγαλῖνο, omisso sigmate finali « ex usu vulgari] ». Ζαλύκης Lexico gallicum nomen *chardonneret* convertit στραγαλιανός. De carduelibus salivam jaculantibus nondum audiveram. Tzetzæ quæ dicitur ῥωμαϊκὴ ἐσθὴς esse videtur *stragulum*.

(367) Burg. ὡς.

(369) B εἴκοσιν ἑξυπ. Burg. εἴκοσι ἓξ ὑπ. Addo nunc Burgessianæ lectioni accentus, quos pessima incuria neglexit vir d. vide p. 1. A, ὑπάρχοντα.

(370) B, ξ. τῇ ἡλικίᾳ. A, ξ. τὴν ἡλικίαν. C et Burg., τῇ διαπλάσει.

(372, 373) transpositi sunt in B, A B,

εὐόφθαλμον, ὑγρόφθαλμον, χαροποπροσωποῦσαν,
εὔχειλον, ἀνθηρόχειλον, καὶ μελιτοφωνοῦσαν,
εὔμαστον, πυρρακίζουσαν, καὶ καλλιτραχηλοῦσαν,
πᾶσι τερπνοῖς πᾶσι καλοῖς πασῶν ὑπερτεροῦσαν,
ὅσον ἡ πληροσέληνος φαιδρόκυκλος σελήνη
ὑπερτερεῖ τῶν ἀμυδρῶν νυκτερινῶν ἀστέρων.
Τοιαύτην οὖσαν κατιδὼν Ἀλέξανδρος Ἑλένην,
ἐπλήγη ταύτης ἔρωτι, καὶ ταύτην ἀφαρπάξας,
ἀντερασθείσης καὶ αὐτῆς, τῆς Αἴθρας συνεργούσης,
σὺν χρήμασι, ποσότητι τριῶν κεντηναρίων,
καὶ διαφόροις εἴδεσιν ἑτέρων κοσμημάτων,
καὶ σὺν δουλίσι τῆς αὐτῆς Ἑλένης πρώταις πέντε,
καὶ σὺν αὐτῇ τῇ Αἴθρᾳ δε τῇ συνεργῷ μοιχείας,
ἐμβὰς εἰς πλοῖον, ἔφευγεν, οὐχὶ τὸν πλοῦν ὃν ἦλθεν,
ὑπάρχοντα τριήμερον ἢ καὶ βραχύ τι πλέον,
ἀλλὰ διὰ Σιδῶνος τε καὶ Τύρου τοῦ πελάγους,
ὅθε καὶ ἥρπαξέ τινας γυναῖκας Σιδωνίας

εὔρινον. C et Burg. εὔρινα, quod prætuli. Alia est significatio adjectivi εὔρινος, quod hic minus convenit, quum de vultu agatur, in quo laudantur nasus, labia, oculi. Infra Ajax dicitur εὔριν, 666.

(375) A, πυρακίζουσαν.

(376) C et Burg., π. καλοῖς, π. τερπνοῖς.

(377) Conf. p. 2.

(380) A C, ἀφαρπάξας. In B syllaba finalis est evanida. Burgessiani fragmenti versus est ultimus, ὑπερτερεῖ... Monstrant loci alii literam ξ in verbi ἁρπάζω futuro et aoristo Tzetzæ placuisse. Legitur ἁρπάξαντος in scholio ad v. 381; ἥρπαξε 389, 420 etc. Cf. n. ad Γ, 22.

(381) Schol. in C. et Anecd. Oxon. t. 3, p. 377: ἡ Αἴθρα τοῦ Θησέως ἦν μήτηρ, τοῦ πρώτου ἑπταετῆ τὴν Ἑλένην ἁρπάξαντος. Ὅτε δὲ Κάστωρ καὶ Πολυδεύκης οἱ τῆς Ἑλένης ἐστράτευσαν ἀδελφοὶ κατὰ Θησέως, οὐδένα τῶν Ἀθηναίων ἐλυμήναντο, μόνην δὲ τὴν ἑαυτῶν ἀδελφὴν Ἑλένην ἐπανεσώσαντο, καὶ ταύτην τὴν Αἴθραν σὺν αὐτῇ ᾐχμαλώτευσαν· ἥτις Αἴθρα τὴν μετ' Ἀλεξάνδρου φυγὴν τῆς Ἑλένης εἰς Τροίαν ἐπραγματεύσατο.

(382) B, ποσότητος. A C, ποσότητι, et sic cod. Oxon. in Hodii Appendice ad Malalæ, p. 120.

(384) A, αὐτῆς ἑτέραις. B. πρώτως.

(385) A B, δέ. C, δε. Hoc prætuli, quum particula sit nunc prorsus invalida et enclitica. Accentus antepenultimus in Αἴθρᾳ δε rhythmo plane sufficit. Et sic mox prætuli ex C Σιδῶνος τε, lection A B Σιδῶνος τέ. Accentus circumflexus, quamvis in illa sede, ferendus est. Nam est sono acutus, nilque amplius postulatur. Atque passim ita faciam, nec monebo. Cf. v. 381.

(389) A B, ὅθεν. C, ὅθε. Hoc recepi, quum valde placuerit Tzetzæ, ut patet ex plurimis exemplis in Thesauro græco nuper collectis. Cf. v. 747; scholium

τεχνίτιδας, ἐργάτιδας καλλίστων ὑφασμάτων,
μόλις εἰς Τροίαν πεφθακὼς ἐν ὁλοκλήρῳ χρόνῳ.
Ὁ δὲ Μενέλαος, ἐλθὼν εὐθέως ἀπὸ Κρήτης,
εἰς μάτην κατεδίωξεν, ἐκείνων διὰ Τύρου
ἐν ὅλῳ χρόνῳ πρὸς αὐτὴν τὴν Τροίαν πεφθακότων.
Οἱ Τρῶες δὲ, καὶ σύμπασαι τῶν Τρώων αἱ γυναῖκες
ἰδοῦσαι κατεπλάγησαν τὸ κάλλος τῆς Ἑλένης.
Ἑκάβη κατεφίλει δὲ ταύτην περιβαλοῦσα,
ἄρρητον σχοῦσα τὴν στοργὴν καὶ σέβας πρὸς ἐκείνην.
Οἱ δ' Ἕλληνες ὡς ἔμαθον οὖσαν Ἑλένην Τροίᾳ,
ἐν διαφόροις τοῖς χρόνοις καὶ γράμματα καὶ πρέσβεις
ὡς πρὸς τοὺς Τρῶας ἔπεμπον, Ἑλένην ἀπαιτοῦντες.
Πρῶτον μὲν τὸν Ἀκάμαντα μετὰ τοῦ Διομήδους,
τὸν Παλαμήδην τὸν σοφὸν ἐξέπεμψαν δευτέρως,
αὐτὸν δὲ τὸν Μενέλαον, μετὰ τοῦ Ὀδυσσέως,
τῆς Κλυταιμνήστρας γράμματα φέροντας πρὸς ἐκείνην·
οὓς τις Ἀντίμαχος ἀνὴρ ἔμελλεν ἀποκτεῖναι,
ὑπ' Ἀλεξάνδρου προτραπεὶς ἐν χρήμασιν εἰς τοῦτο,

ad librum Δ, 37; E 67; H, 119; Θ, 80, 155.—Schol. in C et Anecd. Oxon. t. 3, p. 377: ὅτι ἥρπαξεν Ἀλέξανδρος καὶ ἀπὸ Σιδῶνος γυναῖκας περὶ ὧν Ὅμηρος ἐν Z ῥαψῳδίᾳ λόγον ποιεῖται, λέγων [v. 289]· « Ἔνθ' « ἔσαν οἱ πέπλοι παμποίκιλοι, ἔργα « γυναικῶν Σιδονίων τὰς αὐτὸς « Ἀλέξανδρος θεοειδὴς Ἤγαγε Σι- « δονίηθεν ἐπιπλὼς εὐρέα πόντον, « Τὴν ὁδὸν ἣν Ἑλένην περ ἀνήγαγεν « εὐπατέρειαν. »

(393) A B, ἐκεῖνον. C, ἐκείνων.

(395) A B, ξύμπασαι.

(397) A B, περιλαβοῦσα. C, περιβαλοῦσα, quod alteri præstat. Cf. n. ad v. 1120.

(399) A, τροῖαν.

(400) Schol. in C: ποσάκις πρὸ τοῦ πολέμου παρ' Ἑλλήνων Τρωσὶν ἐστάλησαν γράμματα, καὶ τίνες ἦσαν οἱ πρεσβευταί.

(405) B, Κληταιμνήστρας. A B, φέροντες. C, φέροντα.

(406) A C, οὕς. B, ὅν. Schol. in C: σημείωσαι πῶς οἱ μετὰ Μενελάου (cod. Μενέλαον) πρεσβεύοντες τοῖς Τρωσὶν ὑπ' Ἀντιμάχου ἔμελλον ἀναιρεθῆναι· ὡς καὶ Ὅμηρος ἐν τῇ λάβδα μέμνηται ῥαψῳδίᾳ, λέγων [v. 138]· « Εἰ μὲν δὴ Ἀντιμάχοιο « δαΐφρονος υἱέες ἐστὸν, Ὅς ποτ' ἐνὶ « Τρώων ἀγορῇ Μενέλαον ἄνωγεν « Ἀγγελίην ἐλθόντα σὺν ἀντιθέῳ « Ὀδυσῆϊ Αὖθι κατακτεῖναι, μηδ' « ἐξέμεν ἂψ ἐς Ἀχαιούς· Νῦν μὲν δὴ « τοῦ πατρὸς ἀεικέα τίσετε λώβην. » Qui locus monstrat eligendam esse lectionem οὕς. Adde schol. Ven. v. 138.

(407) Facilis conjectura προτραπεὶς

εἴπερ μὴ ὑπεδέξατο τούτους Ἀντήνωρ τότε,
ὅστις ὑστέρως ἔλαβε καὶ δωρεὰς πρεπούσας·
τῆς Τροίας πορθουμένης γὰρ ἔσωσαν πάντα τούτου,
καὶ πλεῖστα δῶρα καὶ τερπνὰ δεδώκασιν ἐκείνῳ.
Ἀλλὰ μετὰ τὴν πόρθησιν ταῦτα συνέβη τούτῳ.
Τότε δ' οὗτοι, τὸν θάνατον μόλις ἐκπεφευγότες
ὅνπερ αὐτοῖς Ἀντίμαχος ἐσκεύασεν ἐν δόλοις,
τοῖς Ἕλλησιν ἀπήγγειλαν ἅπαντα τὰ πραχθέντα.
Καὶ τότε πᾶν τὸ στράτευμα, διὰ τοὺς πρώην ὅρκους,
ἀπὸ θαλάσσης καὶ δυσμῶν, ἀπὸ βορᾶ καὶ νότου,
εἰς ἓν πάντες ἠθροίζοντο πρὸς πόλεμον τῶν Τρώων.
Δέκα μὲν οὖν παρέδραμον χρόνοι τῶν ὁλοκλήρων,
ἀφ' οὗ καιροῦ παρήρπαξεν Ἀλέξανδρος Ἑλένην,
εἰς τὴν ἀπόπλευσιν αὐτῶν τὴν διὰ τῆς Σιδῶνος,
εἰς τὰ Τρωσὶ στελλόμενα γράμματα παρ' Ἑλλήνων,

σὺν χρήμασι, præsertim si cogitetur de frequenti præpositionum ἐν σὺν confusione, præcedente syllaba quam sigma claudit, de quo monui ad Pachymerem p. 255. Sed retinere correctorem debet libri A v. 99; παραινῶν ἱκετικοῖς ἐν λόγοις. Cf. v. 172; liber B, 46, 47; M. 91.

(408) Schol. in C, et partim in Anecd. Oxon. t. 3, p. 457: ὅτι Ἀντήνωρ τοὺς μετὰ Μενελάου [cod. Μενέλαον] πρέσβεις ἐδέξατο, καὶ Ὅμηρος ἐν γάμμα ῥαψῳδίᾳ φησίν [v. 203]: «Τὴν δ' «αὖτ' Ἀντήνωρ πεπνυμένος ἀντίον «ηὔδα· Ὦ γύναι, ἦ μάλα τοῦτο «ἔπος νημερτὲς ἔειπες· Ἤδη γὰρ «καὶ δεῦρό ποτ' ἤλυθε δῖος Ὀδυσ«σεὺς Σεῦ ἕνεκ' ἀγγελίης, σὺν ἀρηϊ«φίλῳ Μενελάῳ. Τοὺς δ' ἐγὼ ἐξεί«νισσα καὶ ἐν μεγάροισι φίλησα». Οὕτως δ' ἐγὼ [Oxon sine δ'] ἀπὸ στήθους πάντα εἰδὼς, καὶ τὰ διεσπαρμένα διαφόροις τόποις συνάγων καὶ τοῖς οἰκείοις προσφυῶς προσκολλῶν, καὶ εὐκρινῆ τὸν λόγον ποιῶν, τοὺς ἀκροατὰς οὐ συγχέω, καθάπερ τινὲς τὰ πρῶτα ὑστέρως, καὶ πρώτως τὰ ὕστερα λέγοντες, τινὰ δὲ μόνον ἀποφθεγγόμενοι ἀμυδρῶς καθάπερ αἰνίγματα.

(410) Codices A B, ἔσωσε. Codex C, ἔσωσαν.

(411) Schol. inter versus in C et An. Oxon. t. 3 p. 378; τούτου μέμνηται Πίνδαρος. Respicitur Pyth. 5, 109: χαλκοχάρμαι ξένοι Τρῶες Ἀντανορίδαι.

(416) Schol. in B C: ὅρκοι γὰρ προεβησαν τῶν Ἑλλήνων μνηστευσμένων τὴν Ἑλένην, πρὸς Τυνδαρέων τὸν αὐτῆς πατέρα, ἐκστρατεύειν πάντας, εἰ ἀδικοῖτο παρά τινος ὁ ταύτην λαβὼν γαμέτην.

(417) A B, βορρᾶ. C, βορᾶ. Schol. in C. et in Anecd. Oxon. t. 3 p. 377: βορᾶς τινὲς διὰ δύο ρρ, τὸ δὲ βορέας δι' ἑνός. Ἐγὼ δὲ, ἀπο τοῦ βορέας βορᾶς εἰδὼς τοῦτο γεγονὸς, ὡς τὸ βορέας, δι' ἑνὸς ρ καὶ τοῦτο γράφω, καὶ γράφειν οὐ παύσομαι. Vide Thesaurum Græcum.

(420) A C, καιροῦ παρ ἥρπ. B κ. παρήρπ.

εἰς στατευμάτων συλλογὴν, εἰς κίνησιν τῆς μάχης.
Καὶ τότε πάντες σὺν ναυσὶν ἦλθον εἰς τὴν Αὐλίδα,
καὶ Ἀχιλεὺς δὲ σὺν αὐτοῖς, υἱὸς ὢν τοῦ Πηλέως
καὶ Θέτιδος τῆς θυγατρὸς Χείρωνος φιλοσόφου,
Οὔννων Βουλγάρων στράτευμα καὶ Μυρμιδόνων ἄγων
πεντακοσίους ἀριθμῷ μετὰ καὶ δισχιλίων,
στόλον νηῶν πεντήκοντα, στρατοπεδάρχην ἔχων,
τὸν Μενοιτίου Πάτροκλον υἱὸν καὶ Φιλομήλας·
σύμβουλον δὲ καὶ παιδευτὴν εἶχεν αὐτοῦ τροφέα
Φοίνικα, τὸν Ἀμύντορος υἱὸν καὶ Κλεοβούλης,

(425) Sch. in C et in Anecd. Oxon. t. 3, p. 377 : Ἐν τοῖς φρονοῦσι μᾶλλον ἁρμόζει [Ox. ἁρμόζειν] γράφειν· Ἄχος γὰρ, ὡς λέγουσιν, ἦν Ἰλιέων· Εἴτουν τροφῆς ἄμοιρος, ὡς Εὐφορίων [quem citat in Exegesi p. 61]. Καὶ πῶς [Ox. καὶ πώς] διπλοῖς γράφοιτο τοῖς λάμβδα λέγε. Vide n. ad v. 218 et Meinck. ad Euphorionem p. 98.

(426) Sch. in C, et partim in Anecd. Oxon. t. 3, p. 377 : Θέτις, ἡ θάλασσα, τοῦ Νηρέως θυγάτηρ ἐτύγχανε. Θέτις δὲ ἡ σοφὴ καὶ λεκανόμαντις, ἡ μήτηρ Ἀχιλέως, θυγάτηρ ἦν Χείρωνος φιλοσόφου. Ἀλλὰ καὶ ἡ Θέτις, θάλασσα, μήτηρ τοῦ Ἀχιλέως εἶναι λέγεται, ὡς θυμικοῦ καὶ δυσόργου ὄντος τοῦ ἥρωος, ὡς καὶ Ὅμηρος γράφει « Σχέτλιε [Il. 16, 34. Editi, « Νηλεές] οὐκ ἄρα σοίγε πατὴρ ἦν « ἱππότα Πηλεύς, Οὐδὲ Θέτις μήτηρ· « γλαυκὴ δέ σε τίκτε θάλασσα, Πέ« τραι τ' ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν « ἀπηνής. » Incipit Sch. in Anecd. : τοῦ Νηρέως· ἐτύγχανε Θέτις δὲ ἡ... Quorum syntaxis est impedita ob ἐτύγχανε et ἦν. In C nomen θυγάτηρ inter Νηρέως et ἐτύγχανε est fere evanidum; sed vestigia supersunt compendii ejusque brevissimi, quod legi, si id est legere, adjutus et re ipsa, et compendio nominis θυγάτηρ proximi. Conf. liber A, 185...

(427) Hodius Appendice ad Malalæ p. 122, hunc versum e codice Oxon. recitans pro Οὔννων conjecit legendum τῶν νῦν. Hunni quidem superveniunt non exspectati. A, καὶ μυρμ. B, μυρμιγόνων C, τῶν μυρμ. Hodius, μυρμηδ.

(429) A, στόλον. B, στόλων. C, στόλω. A, στρατοπεδαρχῶν, ut videtur. B. στρατοπεδάρχων, incerta tamen syllaba χων. A, ἄγω. BC, ἔχων.

(430) A B, φιλομήλης. C, φιλομήλας, superscripto, γρ. καὶ τῆς Σθενέλης. Tzetzes ipse monstrat quod hic eligendum sit, Exegesi, p. 59 : ἀπὸ μητέρων σπανιάκις τὰ πατρωνυμικὰ σχηματίζει ὁ Ὅμηρος, ὡς τὸ Φιλομηλίδης· υἱὸς γὰρ Φιλομήλας ὁ Πάτροκλος. Consentit Scholiastes Odysseæ 4, 343, qui Φιλομηλείδης intelligit de Patroclo filio Philomelæ. Sed est difficultas non parva in diphthongo ει, quam tangit Eustathius, quamque non prætervidebat Tzetzes scribens Φιλομηλίδης. Conf. v. 525. A nomine υἱὸν in A fit saltus a folio verso 43 ad folii 44 recti versum primum Ὁ ποθοθήνωρ, quibus verbis incipit v. 535.

(432) Καὶ Κλεοβούλης] superscriptum in C : γρ. καὶ Εὐρυδίκης. Tzetzes ad Lycophr. 421 : Φοῖνιξ ὁ Ἀμύντορος ταῖς τῆς μητρὸς αὐτοῦ Κλεοβούλης ἱκεσίαις. Poetæ Anthologiæ describenti tabulam Cyzicenam, 4, 3, Amyntoris uxor dicitur Alcimede : Ἀλκιμέδη ξύνευνον Ἀμύντορα παιδὸς ἐρύκει, Φοίνικος δ' ἐθέλει παῦσαι χόλον γενέτου. Sic editum e conjectura virorum doctorum.

Πολλαῖς δὲ παρακλήσεσιν ἦλθεν εἰς συμμαχίαν·
ὁ Ὀδυσσεὺς καὶ Νέστωρ γὰρ μετὰ τοῦ Παλαμήδους
μόλις ἐξέπεισαν αὐτοῦ πατέρα τὸν Πηλέα
τοῦτον προπέμψαι σύμμαχον τῷ πλήθει τῶν Ἑλλήνων.
Ἅπερ δὲ πεφλυάρηνται περὶ τοῦ Ἀχιλέως,
ὡς φοβηθεὶς τὸν πόλεμον ἐφόρει γυναικεῖα
καὶ σὺν παρθένοις ἱστουργῶν κρυπτόμενος ὑπῆρχε,
τοῦ Ὀδυσσέως ξίφη δὲ ῥίψαντος σὺν ἀτράκτοις,
κατάδηλος ἐγένετο τὸ ξίφος προτιμήσας,
τοιαύτην ἔχουσί τινα σοφὴν ἀλληγορίαν.
Ὁ Χείρων ὁ φιλόσοφος πάππος τοῦ Ἀχιλέως
ἐκ λεκανομαντείας τε καὶ σκέψεως ἀστέρων
τοῦ Ἀχιλέως τῇ μητρὶ τῇ Θέτιδι προεῖπε·
« Θέτι, θυγάτριον ἐμὸν, μάθε πατρὸς σου λόγους·
« ὁ σὸς υἱὸς ὁ Ἀχιλεὺς, μένων ἐν τῇ πατρίδι,
« ἔσεται πολυχρόνιος, πλὴν ἐκ τῶν ἀδοξούντων·
« εἰ μετὰ τῶν Ἑλλήνων δὲ κατὰ τῶν Τρώων πλεύσει,
« ἔνδοξος ἔσται καὶ λαμπρὸς, ἀλλὰ συντόμως θνήσκει. »
Τοῦτο μαθοῦσα τοιγαροῦν ἐκ τοῦ πατρὸς ἡ Θέτις,
ἄδοξον πολυχρόνιον θέλουσα τοῦτον ἔχειν,
εἰς ἐκστρατείαν οὐδαμῶς ἤθελεν ἀποπέμπειν,

Codex ἡ δ' ἐθέλει. Nil mutandum erat. Junxerim ἐρύκει Φοίνικος· ἡ δ' ἐθέλει... « Alcimede sponsum Amyntora a » Phœnice inhibet filio ; vult autem patris » iram placare ». Potuisse videtur epigrammatarius, cui fuit παῦσαι pro trochæo, Φοίνικος, usu despecto, facere dactylum.

(433) Schol. in C : νέος γὰρ ὢν Ἀχιλεὺς οὐκ ἦν καὶ αὐτὸς ἐν τοῖς πρώτοις ὅρκοις ὁρκωμοτήσας.

(435) B, ἐξέπεισεν. C, ἐξέπεισαν.

(441) Posteriori hemistichio superscriptum in C, δεξάμενος τὸ ξίφος. Schol. in C, ἀλληγορία τοῦ ὅτι Ἀχιλεὺς ἐνεδέδυτο γυναικεῖα, ἐξηλέγχθη δὲ παρ' Ὀδυσσέως, ξίφη καὶ ἀτράκτους ἐπιρρίψαντος ἐν τῷ παρθενῶνι, λαβὼν αὐτὸς ξίφος, καὶ οὐκ ἀτράκτους ὡς αἱ παρθένοι καὶ λοιπαὶ γυναῖκες. Rursus alio loco : ἀλληγορία τοῦ ὅτι αἱ γυναῖκες ἀτράκτους ἐπελέγοντο, Ἀχιλεὺς δὲ τὸ ξίφος. Quam allegoriam Achillis historiæ memorat Chil. 5, 6 : Ταῦτα μὲν οἱ νεώτεροι περὶ τοῦ Ἀχιλλέως (Cod. Ἀχιλέως, ipso Tzetza jubente). Ἐγὼ δὲ ἠλληγόρησα τῇ βίβλῳ τῆς Αὐγούστης· hocce videlicet Allegoriarum libro jussu Irenes imperatricis composito.

(449) C, πλεῦσαι.

ἀλλὰ κατεῖχε μητρικῷ καὶ διαπύρῳ πόθῳ·
ὃ γυναικείαν ἔνδυσιν ὠνόμασαν οἱ μῦθοι.
Ὡς Ὀδυσσεὺς καὶ Νέστωρ δὲ μετὰ τοῦ Παλαμήδους
ἁπανταχοῦ διήρχοντο πάντας στρατολογοῦντες,
οἱ μὲν γυναικωδέστεροι καὶ τῶν δειλῶν ἀνθρώπων,
οἷος ὁ Σικυώνιος Ἐχέπωλος ἐκεῖνος,
ὁ Κύπριος Κινύρης δὲ, καὶ τινες τῶν ἑτέρων,
ἀτράκτους ἐπελέγοντο, ἤγουν τὴν οἰκουρίαν.
Καὶ γὰρ ὁ μὲν Ἐχέπωλος διὰ τὸ μὴ στρατεῦσαι
Αἴθην ἵππον ἐξαίρετον τῷ βασιλεῖ δωρεῖται,
ὁ Κύπριος Κινύρης δὲ θώρακα, θαῦμα ξένον.
Ὁ δ' Ἀχιλεὺς, ὡς ἤκουσε δι' ἐκστρατείαν λόγους,
ἡρωικὸν ἀναπηδᾷ καὶ τρέχει πρὸς τὴν μάχην,
ἀφροντιστήσας καὶ μητρὸς καὶ ταύτης μαντευμάτων.
Οὕτω μὲν πᾶν τὸ στράτευμα συνήχθη πρὸς Αὐλίδα,
εἰς δισχιλίας ἀριθμῷ προβαίνων χιλιάδας,

(454) B, μητρικῶς.
(455) B C, γυναικεῖαν.
(457) B, παντα. C, πάντας.
(459) B, οἷον ὁ συκεώνιος ἐχέπολος. C, οἷον et quod scripsi, secutus Homerum Il. 23. 296, 299. Scholium in C et in Anecd. Oxon. t. 3, p. 378: Σικυὼν ἐστὶν ἡ χώρα τῶν Ἑλλαδικῶν Βλάχων. Nota res est ex Malala Chron. 4, init. Sicyonios serioribus temporibus dictos fuisse Ἑλλαδικούς· τῶν Σικυωνίων, τῶν νυνὶ λεγομένων Ἑλλαδικῶν. Sed in nomine Βλάχων hæreo.
(460) B, Κυνήρης, ut et 464; nunc tamen recte superscripto ι. Cf. Il. 11, 20.
(461) B, ἀπράκτους. C, ἀτράκτους.
(463) B C, χαρίζει, sed C superscripto δωρεῖται quod recepi. Nam χαρίζω non convenit Tzetzicæ orationi.
(464) B, τε. C, δε. Accentum imposui, quum sit δὲ oppositum conjunctioni μὲν v. 462.
(465) B, δι' ἐκστρατείας. C, δι' ἐκστρατείαν.
(469) Schol. in C: πόσαι χιλιάδες. Σημείωσαι πόσος ἦν ὁ ἀριθμὸς τῆς Ἑλλήνων στρατιᾶς. Φέρεταί που [Cod. τοῦ] τῶν Ὁμηρικῶν βίβλων ἡ τῆς στρατιᾶς ἀπαρίθμησις οὕτω κατ' ἔπος ἔχουσα [Certamine Homeri, § 9]: « Πεντήκοντ' ἦσαν πυρὸς ἐσχάραι, ἐν δὲ » ἑκάστῃ Πεντήκοντ' ὀβελοί [Cod. » ὀβολοί], περὶ δὲ κρέα πεντήκοντα. » Τρὶς δὲ τριηκόσιοι περὶ ἓν κρέας » ἦσαν Ἀχαιοί ». Sunt illi versus et in Anthologia 14, 147. Vide Mesiriacum ad Ovid. t. 2, p. 323.—Principio Scholii nomen χιλιάδες in codice non totis est scriptum literis sed compendio α̣', quod non difficile est nec rarum puto; sed notandum mihi videtur, quia est omissum in Hodgkinii tabulis palæographicis. Omissa sunt et alia plurima, verbi gratia compendium nominis θυγάτηρ, de quo n. ad 426, typis non repræsentandum, et nominis μοναχὸς, quod sic exarant $\overset{\iota}{\underset{\alpha}{\chi}}$, $\overset{\upsilon}{\underset{\alpha}{\chi}}$. In Anecdotis Oxon. t. 3, p. 364: ὁ καθη-

διακοσίας ἄλλας τε πεντήκοντα πρὸς ταύταις·
ὁ πᾶς δὲ στόλος ἦν αὐτῶν ἐκ μακροτάτων πλοίων
ἕξ τε καὶ ὀγδοήκοντα χιλίων ἑκατόν τε.
Οἱ βασιλεῖς καὶ ναύαρχοι καὶ στρατηγοὶ δὲ τούτων
ἦσαν ὡσεὶ πεντήκοντα καὶ πλείονες ὀλίγον,
κἂν Ὅμηρος ἐλάττονας καὶ τούτων διαγράφῃ.
Μάθε τὰς τούτων κλήσεις δὲ πρῶτον καὶ ναυαρχίας
καὶ τὰς μορφὰς εἰσέπειτα τὰς τῶν ἀριστοτέρων·
εἶτα λοιπόν μοι μετ' αὐτὰ μάθῃς τὰ τοῦ πολέμου
κατὰ λεπτὸν τὰ σύμπαντα στενῶς πεπλατυσμένοις,
οὕτως ὡς ἂν ἀνέγνωκας Ὁμήρους, Στησιχόρους,

γούμενος τῆς μονῆς τοῦ Παντοκράτορος $\overset{χι}{α}$, Ἰωσηφ. legendum μοναχὸς Ἰωσὴφ. Potuit hærere alio loco Cramerus p. 370. Ad Tzetzam Chil. 7, 988 dicentem, Ἱπποκράτης ... Ἤλεγχεν (mendosa K. correctio pro vulgato mendo ἔλεγγεν. Qui non sum Œdipus ego divinabam ἔλεγχεν ante inspectum codicem), ἐγνωμάτευε τῶν ἰατρῶν τὰ γένη. Ἐπ' ἀλλοτρίαις ξυμφοραῖς ἰδίας τρυγᾶν λύπας· hoc apponit scholium : οἱ ἰατροὶ θεωροῦντες τὴν (Cod. sine τὴν) τὰς νόσους τὰ $\overset{π}{πα}$ τὰς λύπας, τὰς πληγὰς, ἰδίας λύπας αὐτοὶ αὐτῶν κερδαίνουσι. Compendium ipsum codicis 2644 exhibet folio 154, figuram literæ π valde similem, nihilque opis præbet ipse Hippocratis locus, qui extat initio libelli De flatibus. Legendum esse videtur τὰ πάθη. Liceat addere paucula quæ sunt ad manum. In lectione scholii ad Chil. 6, 707, dissentiam a Cramero Anecd. Oxon. t. 3, p. 369 : ἡμεῖς δὲ νοοῦμεν λωτὸν λέγειν τὸ γλυκοκάλαμον ὃ ποιεῖ τὴν ζάχαριν. Infinitivus λέγειν me non parum impediebat, ac consului codicem 2644, in quod est compendium λγέ, quod hic loci interpretor λέγοντες· id est : « nos autem hodie λωτὸν dicentes intelligimus τὸ γλυκοκάλαμον. Lexicon in meis Anecdotis Gr. t. 4, p. 391, et Basilius Exercitatione grammatica p. 54 : λῶτος τὸ γλυκοκάλαμον. Addam codicem exhibere σημείωσαι· ἡμεῖς. et in fine ὃ ποιεῖ τὸ σάχαρ. Omissum etiam σημείωσαι, in scholio Anecd. Oxon. t. 3, p. 361, ad Chil. 7, 255, de βασάνοις λίθοις· Λεῖαι, Tzetzes ait, λίθοι στιλπνόταται καὶ μέλαιναι εἰς ἄκρον, Ὅμοιαι καλολαίγξιν (Cod. καλολάϊξιν) αἷς παίζουσιν αἱ κόραι· et ad καλολάιξιν apposuit notulam : σημείωσαι πῶς λέγεται τὰ παρὰ τοῖς παισὶ λεγόμενα καλαλάτζια. Omissio verbi σημείωσαι nocet sententiæ. Similis rursus omissio initio scholii in Anecd. Oxon, t. 3, p. 372, ad Chiliadem 11, 393 : σημείωσαι χρησμοὶ ψευδεῖς δοκοῦσι τῷ Τζέτζῃ οἱ ἐξ ἰάμβων χρησμοί, ὅπου γε καὶ τινες τῶν ἡρώων.

(471) B, αὐτῶν τῶν μ. C, αὐτῶν ἐκ μ.

(472) B, χιλιάς. Lemma in C : πόσα κάτεργα. Vide notam ad Philostrati Her. p. 556.

(473) Lemma in C : τὸ πόσον τῶν βασιλέων καὶ στρατηγῶν τῶν Ἑλλήνων.

(478) B, μαθε. C, μάθοις, et sic Burgessius, qui versus 476, 477, 478, Initiis Homericis inseruit p. 75. Malui μάθῃς ex v. 661.

(479) B, καταλεπτόν.

(480) B, ὡς ἄν. C, ὡσάν.

Εὐριπίδας, Λυκόφρονας, Κολλούθους τε καὶ Λέσχας,
καὶ Δίκτυν συγγραψάμενον καλῶς τὴν Ἰλιάδα,
Τριφιοδώρους, Κόϊντον, κἂν ἑκατὸν βιβλία,
οὐκ ἂν λεπτομερέστερον οὕτως ἐξηκριβώσω·
καὶ τότε τμήματι βραχεῖ πάντα συγκεκλεισμένα,
ὅπως πᾶς ὁ βουλόμενος ἐν πόνῳ βραχυτάτῳ
ἀνεγνωκέναι τοῖς πολλοῖς δοκῇ βιβλιοθήκας.
Οὕτω θαρρῶν σὺν τῷ θεῷ προσφθέγγομαι σῷ Κράτει.
Ἂν οὖν σκεπήσῃς ἀκριβῶς τὸν δουλικόν μου τρόπον
ὅτι μοχθήσας περισσὰ, χάριν σοῦ θείου Κράτους,
καὶ μὴ μοχθηρευσάμενος ἐκ τοῦ πολλὰ συγγράφειν,
ὡς ἄλλος ἂν ἐποίησε πολλὰ λαμβάνων δῶρα,
τὰ πάντα περιέκλεισα τμήματι βραχυτάτῳ,
ὁπόσα οὐχ εὑρήσει τις οὐδ' ἑκατὸν βιβλίοις,
καὶ ἀρκεσθῇ τὸ Κράτος σου τοῖς οἷσπερ διαγράφω,
μικροῖς, μεγάλοις τμήμασι, στενοῖς, πεπλατυσμένοις;
καὶ μᾶλλον ἕνεκεν αὐτοῦ καὶ δωρεὰ δοθῇ μοι

(481) B C, Ευριπιδολυκόφρονας. Et in Exegesi scriptum est Κόλλουθος.

(483) B C, Τρυφιοδώρους. Vide n. 274.

(487) C, ἂν ἐγνωκέναι. Versus 485, 486, 487, inseruit Burgess. Initiis Homericis p. 75.

(488) Quindecim inde versuum magna est varietas in B, quos integros describam: Οὕτω θαρρῶν σὺν τῷ θεῷ προσφθέγγομαι σῇ δόξῃ, Μηδ' ὁπωσοῦν ἀποκαμὼν ἐκ τοῦ πολλὰ συγγράφειν. Τὰ πάντα γὰρ συνέκλεισα τμήματι βραχυτάτῳ, Ὁπόσα οὐχ εὑρήσει τις οὐδ' ἑκατὸν βιβλίοις. Ἂν οὖν σκοπήσῃς ἀκριβῶς τὸν δουλικόν μου τρόπον, Καὶ ἀρκεσθῇς ὁλοσχερῶς τοῖς οἷσπερ διαγράφω, Μικροῖς μεγάλοις τμήμασι, στενοῖς, πεπλατυσμένοις, Καὶ μᾶλλον ἕνεκεν αὐτοῦ καὶ δωρεὰ δοθῇ μοι Τῆς σῆς ἐπάξιος ψυχῆς τῆς βασιλικωτάτης, Ἔστω καὶ χάρις τῷ θεῷ καὶ χάρις σου τῇ δόξῃ. Εἰ μέχρι δ' οὗπερ ἔγραψα τμήματος σμικροτάτου Ἡ θεία καὶ φιλάνθρωπος οὐκ ἀρκεσθῇ (cod. ἀρκεσθεὶ) σου γνώμη Θελήσει δὲ μετάφρασιν καὶ στίχους τοῦ Ὁμήρου, Ὡς Ἡρακλῆς τὸν ἄεθλον καὶ...

(496) Schol. in C: παραδοξολογία τὸ σχῆμα.

(497) Editor Anecdotorum Oxon. 3, p. 378, 8, hoc versu usus, habet ἕνεκα et δόθη. Sed in ἕνεκα αὐτοῦ hiatus est intolerabilis, et δόθη peccat vel contra usum Tzetzæ qui augmentum non negligit, vel contra metricum accentum penultimæ. Fortasse scribendum κἂν pro καὶ, saltam ἂν mente repetendum: « et præsertim si propter hoc donum datum fuerit mihi ». Ex Chiliadum Historia 264 discere est quod acceperit ab Augusta pro metaphrasi munus, et plura hunc illustrantia locum.

τῆς σῆς ψυχῆς ἐπάξιος τῆς βασιλικωτάτης,
ἔστω καὶ χάρις τῷ θεῷ, καὶ χάρις σου τῷ Κράτει.
Εἰ μέχρι δ' οὗπερ γράψαιμεν τμήματος σμικροτάτου
τὸ θεῖον καὶ φιλάνθρωπον οὐκ ἀρκεσθῇ σου Κράτος,
θελήσει δὲ μετάφρασιν καὶ στίχων τῶν Ὁμήρου,
καθὰ προεῖπόν μοί τινες, ὡς ἐκ τοῦ σοῦ τοῦ Κράτους,
ὡς Ἡρακλῆς, τὸν ἄεθλον καὶ τοῦτον ἐκτελέσω.
Νῦν δέ μοι μάνθανε καλῶς λεπτῶς ἠκριβωμένως
τὰ στρατηγῶν ὀνόματα, τὰς τούτων ναυαρχίας,
καὶ καθεξῆς καὶ τὰ λοιπὰ μέχρι τοῦ τέλους πάντα.
Δύο μὲν ἦσαν βασιλεῖς Ἑλλήνων οἱ κρατοῦντες,
ὁ Ἀγαμέμνων ὁ κλεινὸς μετὰ τοῦ Μενελάου,
υἱοί, κατὰ τοὺς πλείονας, Ἀτρέως, Ἀερόπης·
Πλεισθένους καθ' ἑτέρους δὲ παῖδες καὶ τῆς Κλεόλας.
Ὁ Ἀγαμέμνων ναυαρχῶν ἦν ἑκατὸν ὁλκάδων,
τοὺς Κορινθίους ἦγε δὲ μετὰ τῶν Μυκηναίων.
Ἑξήκοντα Μενέλαος ἦν ναύαρχος ὁλκάδων,
τοὺς Σπαρτιάτας, Λάκωνας, καὶ Ἀμυκλαίους ἄγων.

(504) B, τὸ ἀέθλον. B C, πληροῦν οὐ κατοκνήσω. Sed est in C superscripta altera lectio, quam prætuli, quia displicebat quæ est in ἄθλον πληροῦν metaphora. De illa jam dixi ad Choriciana ἐπλήρουν τὸν σκοπόν p. 57, collata etiam vernacula dictione, *remplir un but*, quam multi repudiant. Commentatores Molieri sic nonnunquam loquentes deprehendi et reprehendo : « Molière remplit « ici un double but; c'était le but de « Molière, et il l'a rempli ; pour remplir « ce but, il lui suffit de...; ici Molière « remplit un double but ». Nec bona oratione usi sunt, nec varia. Condorcetus Vita Voltairii : « Voltaire donna Eriphyle, « qui ne remplit point son but ».

(511) Schol. in C et in Anecd. Oxon. t. 3, p. 378 : Ὅμηρος καὶ οἱ πλείους Ἀτρέως φασὶ τούτους· Ἡσίοδος δὲ Πλεισθένους, καὶ Αἰσχύλος λέγων [Ag. 1592]. « Ἀρᾶτ' ὀλέσθαι πᾶν τὸ Πλεισθένους γένος. Firmatur Porsoni conjectura ὀλέσθαι pro ὀλέσθη. Vide Matthiæ Gramm. de verbo defectivo ὄλλυμι. Ἀρᾶται est lectio Tzetzæ ficta, ut sententia uno contineretur versu. Hesiodi locus ipse nunc non exstare videtur. Ejus meminit et in Exegesi Tzetzes pp. 68, 69. Adde Lehmann de Hesiodi carminibus perditis p. 56; Meziriac. ad Ovid. t. 2, p. 251, 252. —Κλεόλλας scriptum est in Exegesi Tzetzæ p. 69; Mezir. loco laudato p. 253.

(515) Sch. in C : Ἀμύκλαι πόλις (cod. πόλεις) Ἑλλάδος, τὸ παρ' ἰδιώταις λεγόμενον (C. λεγόμενα) Νίκλιν. In Buchonis indice ad Chronicon Peloponnesiacum Νίκλιν et Amyclæ non idem sunt oppidum. Niclii vestigia exstare ait in loco dicto *Moukli* antiquam prope Tegeam. Et Commanvillius *Muchliam*

Νέστωρ υἱὸς Νηλέως τε καὶ Χλωρίδος ὑπάρχει,
κατά τινας ἑτέρους δὲ, Νηλέως Πολυμήδης.
Ἦν ἐνενήκοντα νηῶν ναύαρχος στρατηλάτης,
Πυλίους ἔχων ὑπ' αὐτὸν καί τινας τῶν ἑτέρων.
Ἦν Ἀχιλεὺς τῆς Θέτιδος υἱὸς καὶ τοῦ Πηλέως,
στόλου πεντήκοντα νηῶν ἄρχων τῶν Μυρμιδόνων,
καὶ τοῦ Πελασγικοῦ παντὸς Ἄργους ἡγεμονεύων,
ἔχων τροφέα Φοίνικα, Πάτροκλον στρατηλάτην,
τὸν μὲν υἱὸν Ἀμύντορος, μητρὸς δὲ Κλεοβούλης,
τὸν δὲ τοῦ Μενοιτίου δὲ παῖδα καὶ Φιλομήλας.
Ἦν Αἴας Τελαμώνιος, ὁ παῖς τῆς Ἐριβοίας,
ναύαρχος δώδεκα νηῶν ἐκ νήσου Σαλαμῖνος.
Πηνέλεως καὶ Λήϊτος σὺν τῷ Ἀρκεσιλάῳ
καὶ Προθοήνωρ, Κλόνιος, οἱ πέντε ναυαρχοῦντες,
πλείων ἦρχον πεντήκοντα τῆς χώρας τῶν Θηβαίων.
Υἱὸς ἦν ὁ Πηνέλεως Ἱππάλκμου Ἀστερόπης,

ponit ubi Tegea fuit. Puquevillius Buchonem sequitur.

(516) B, δέ. C, τε.

(518) B, ὃν ἐνεν. νεῶν ν. στρατηγέτης.

(521) C, νεῶν. B, μυρμηδόνων. Et sic saepius peccatur, vide n. ad Pachymeris Declamationes p. 242. Scholium in C et partim in Anecdotis Oxon. t. 3, p. 378: τὸν Ἀχιλέα ληροῦσί τινες πεντεκαίδεκα ἐτῶν ὄντα ναυαρχεῖν. Φαίνεται δὲ καὶ Ὅμηρος ἐν τῇ ἰ ῥαψῳδίᾳ [v. 437] τούτοις συνᾴδων. Φησὶ γὰρ ὡς ἀπὸ τοῦ Φοίνικος: « Πῶς ἂν ἔπειτ' ἀπὸ σεῖο, φίλον » τέκος, αὖθι λιποίμην Οἶος; σοὶ » δέ μ' ἔπεμπε γέρων ἱππήλατα Πη- » λεὺς, Ἤματι τῷ ὅτε σ' ἐκ Φθίης » Ἀγαμέμνονι πέμπε Νήπιον, οὔπω » εἰδόθ' ὁμοιΐου πολέμοιο, Οὐδ' ἀγο- » ρέων ἵνα τἄνδρες ἀριπρεπέες τε- » λέθουσιν ».

(523) B, στρατηγέτην.

(524) B, ἀμύντωρος... Κλεοβούλης. C, Κλεοβουλης superscripto, γρ. τῆς Εὐρυδίκης. Eadem varietetas v. 431. ubi n. — Sch. in C: τὸν μὲν] τὸν Φοίνικα.

(525) B C, Φιλομήλας, superscripto in C, τῆς σθενέλης. Et sic v. 430, ubi n.

(526) C, Ἐριβοίας, superscripto περι. Etenim mater Ajacis Telamonii utraque nominis forma dicta fuit; dicta etiam Meλίβοια. Vide Meziriacum ad Ovidii Epist. t. 1, p. 246.

(527) Schol. in C: Σαλαμὶς πλησίον Ἀθηνῶν ἐστὶν.

(528) B, λάϊτος, sed λήϊτος 538, et sic Homerus Catalogo 494.

(529) Non consentiunt grammatici de accentu, utrum sit ponendus in Κλό. an in νί. Manifestum est ex sede versus Tzetzam pronuntiavisse Κλόνιος.

(530) Sch. in C: αἱ Θῆβαι γὰρ τότε ὑπὸ τῶν Ἐπιγόνων ἐπορθήθησαν· ἦρχον δὲ οὗτοι Βοιωτῶν τῶν ἐκ χωρίων Θηβαϊκῶν.

(531) B, ὁ πάλλης Codex C, ἱππάλ-

εἰ δ' ἄλλοι πάντες ἀδελφοί, πλὴν τῶν ἀμφιμητρίων·
Λήϊτος παῖς Ἀλέκτορος ἅμα καὶ Πολυβούλης·
τούτου καὶ Ἀρκεσίλαος, μητρὸς δὲ Κλεοβούλης·
ὁ Προθοήνωρ δὲ μητρὸς ἐξ Ἀρτηΐδος ἔφυ·
ὁ Κλόνιος γεννᾶται δὲ μητρὸς ἐξ Ἀκτηΐδος.
Ἀσκάλαφος, Ἰάλμενος ἦρχον Ὀρχομενίων,
υἱοὶ μὲν ὄντες Ἄρεος μητρὸς ἐξ Ἀστυόχης,
στόλου νηῶν τριάκοντα κατάρχοντες οἱ δύο.
Σχέδιος καὶ Ἐπίστροφος ἦρχον δὲ τῶν Φωκέων,
τῆς Θρασυβούλης παῖδες μὲν ὄντες καὶ τοῦ Ἰφίτου,
στόλου δὲ τεσσαράκοντα δεσπόζοντες ὁλκάδων.

χμου. Scripsi Ἱππάλκμου, sequutus Eustathium ad Catalogum. Proponit Heynius ἱππάλκιμος ad Apollod. t. 1, p. 322, t. 2, p. 75, formam bene græcam, sed quam metrum Tzetzicum non admittit.

(532) Schol. in C, et partim in Anecd. Oxon. t. 3, p. 378 : ἕτεροι δὲ Ἀρκεσιλάου Προθοήνορα καὶ Κλόνιον μόνους φασὶν εἶναι ἀδελφούς, υἱοὺς Ἀστερόπης καὶ Ἀρηϊλύκου, ὡς καὶ ἡμεῖς ἐν ἑτέρα γυναικεία βίβλω ἐγράψαμεν· « Καὶ Προθοήνωρ, Κλόνιος σὺν « τῷ Ἀρκεσιλάῳ, Οἱ τῆς Ἀστερόπης « υἱοὶ καὶ τοῦ Ἀρηϊλύκου ». Videtur γυναικεία βίβλος opus quoddam fuisse in Augustæ, mulieris doctæ, usum, ejusque jussu compositum. Addidi οἱ ante τῆς, ne prius hemistichum syllaba careret. Versum modo Tzetzæ legebam in Anecd. Oxon. t. 3, 334, 23, quem lapsus calami vel error typothetæ superflua syllaba oneravit : Τοῦ λυρικοῦ κύκλου δὲ δὲ σύστημα τόδε. Corrigam obiter mundam versus proximi : Ὅθεν παρ' αὐτοὺς τις καλεῖ ταυροσφάγους. Lege e codice 2644, ὅθενπερ αὐτούς. Gravius aliud est in versu 16, p. 335 · Κώμοις παρ' αὐτοῖς καὶ πρὸ τοῖς Διονύσου. Bene codex, καὶ πότοις Διον., qui versus redit p. 338. Rursus p. 336, ad recitatum Susarionis illius antiquissimi versum, Υἱὸς Φιλίνου, Μεγαρόθεν Τριποδίσκιος, appositum est scholium : ἡ δὲ λέξις ἡ λέγουσα Τριποδισκίου, τοῦ φησὶν ἀπὸ πόλεως Τριποδίσκης μιᾶς τῶν Μεγαρικῶν πόλεων. Sed in versu ipso et in scholio codex exhibet Τριποδίσκιος. Legerim ergo, τοῦτο φησίν. Nominatis antiquis tragicis addidit Tzetzes p. 337 : Ὕστατος αὐτὸς Εὐριπίδης Μνησάρχου. Codex recte αὐτῶν.

(533) Ἀλέκτορος] Sch. in C et Anecd. Oxon. t. 3, p. 378 : Ὅμηρος δὲ Ἀλεκτρύονος τοῦτον φησὶ λέγων [Il. 17, 601] « Λήϊτον αὖθ' Ἕκτωρ σχεδὸν οὔτα χεῖρ' ἐπὶ καρπῷ, Υἱὸν Ἀλεκτρύονος μεγαθύμου, παῦσε δὲ χάρμης. Addidi μεγαθύμου ex Poetæ loco, ubi editum est Ἀλεκτρυόνος. Scribebat Tzetzes Ἀλεκτρύων, ύονος, de homine.

(534) Abest a B. C, Κλεοβούλης, superscripto ἢ Θεοβούλης. Schol. τούτου] τοῦ Ἀλέκτορος.

(535) B. ἀρπηΐδος. AC, ἀρτηΐδος.

(538) A C, ἄρηος, quod habet Homerus Il. 2, 513. C, ἄρεος, quod prætuli ut in narratione Tzetzæ. A, ἀχιόλης. B, ἀχιόχης. C, ἀξιόχης, superscripto στ, ut sit ἀστιόχης, imo Ἀστυόχης, quod scripsi ex Iliade.

(540) A, σχέων καὶ ὁ ἐπίστρ, B, χέδιος, omissa littera rubricanda; sic 542, σκάλαφος. C, σχέδιος. Est in Iliade 517. Σχεδίος. Servavi codicis accentum, qui in nomine proprio reperitur et alibi. Vide Heynium.

(541) B, Ἰφίλου.

Καὶ Αἴας τεσσαράκοντα πλείων Λοκρῶν κατῆρχε,
παῖς ὢν τῆς Ἐριώπιδος ἅμα καὶ Ὀϊλέως,
κατ' ἄλλους Ἀστυόχης δὲ τῆς θυγατρὸς Ἰτύλου,
ἢ Ἀλκιμάχης, ὥς φασί τινες, τῆς τοῦ Φυλάκου.
Τῶν Εὐβοέων ἦρχε δὲ τῆς νήσου Ἐλεφήνωρ
ὁ παῖς ὁ τοῦ Χαλκώδοντος ἅμα καὶ Ἀλκυόνης,
εἴθ', ὡς οἱ πλείονες φασίν, υἱὸς τῆς Μελανίππης,
σὺν ᾧπερ συνεστράτευσαν καὶ συμπαρῆσαν τότε
Ἀκάμας τε καὶ Δημοφῶν, οἱ παῖδε τοῦ Θησέως,
δεσπόζεσθαι μὴ θέλοντες παρὰ τοῦ Μενεσθέως.
Εἶχε δὲ τεσσάρακοντα τὰς ναῦς ὁ Ἐλεφήνωρ.
Ὁ Πετεῶο Μενεσθεὺς υἱὸς καὶ Πολυξένης,
ἢ Μνησιμάχης, ὥς τισιν ἱστορικοῖς ἀρέσκει,
ἦν Ἀθηναίων ναύαρχος πλείων πεντηκοντάδος.
Ὁ Διομήδης ὢν υἱὸς Τυδέως, Δηϊπύλης,
εἴτε, κατὰ Θεόκριτον, Τυδέως καὶ Ἀργείας,
δὶς τεσσαράκοντα ναυσὶν Ἀργείων ἐναυάρχει,
Εὐρύαλον καὶ Σθένελον ἔχων συνναυαρχοῦντας,
Σθένελον Καπανέως μὲν καὶ τῆς Εὐάδνης παῖδα,

(543) Αἴας] Sch.: Ζήτει ἔμπροσθεν· scilicet vs 526, ubi de altero Ajace Telamonio.

(544) Schol. in C: Ἐριῶπις, θυγάτηρ ἦν Φέρητος, ἀδελφὴ δὲ Ἀδμήτου.

(545) A, Ἰτίλου.

(546) A, φυλλάκου. B, φιλάκου. C, φυλάκου.

(548) A B, χαλκόδ. C, χαλκωδ., ut Il. 2, 541.

(551) B, ἀλκάμας.

(552) Abest a B.

(554 B, πετεῶος, omisso ὁ rubricando. A, ὁ πετεῶνος. C, πετεῶο, ut Il. 2, 552, quod sumsi. Ex varietate A B fere suspicabar Tzetzam voluisse mutare formam insolitam πετεῶο, et πετεῶνος placebat, ut supra Ἄρεος pro Ἄρηος; sed est urbs Πετεών, Πετεῶνος Il. 2, 500, et servavi Πετεῶο. Prima syllaba πετ, quæ sæpius occurrit in nominibus Ægyptiis, fecit ut pater Menesthei ex Ægypto oriundus putaretur, qua de opinione vide Letronnium De Memnonio Colosso p. 82, et Memoriis Acad. Inscript. a. 1833, t. 10, p. 330.

(557) A, διϊπύλην: Schol. ad Phœnissas 135: Δηϊπύλη δὲ ἡ τοῦ Τυδέως, ἀφ' ἧς Διομήδης.

(558) Schol. in C et Anecd. Oxon. t. 3, p. 378: Οὕτω γάρ φησιν. [Id. 17, 53]· « Ἀργεία κυάνοφρυ, σὺ λαοφόνον Διομήδεα Μισγομένη Τυδῆϊ τέκες Καλυδώνιον ἄνδρα ». Post σὺ codex male addit δέ. Scholiastes Theocriti: Ἀργείαν εἶπε τὴν τοῦ Διομήδους μητέρα Δηϊπύλην, καθὰ ἐξ Ἄργους ἦν Ἀδράστου θυγάτηρ· ἦν δὲ ὀνομαστικῶς καὶ Ἀργεία καλουμένη. Hinc patet erravisse Tzetzam, qui distinguebat ab Argia Diipylen.

τὸν δὲ τῆς Ἀστυόχης τε καὶ Μηκιστέως παῖδα,
τοῦ Μηκιστέως ἀδελφοῦ Ἀδράστου βασιλέως.
Ὁ Ἀγαπήνωρ ὁ υἱὸς Ἀγκαίου, Διομήδης,
Τεγεατῶν Ἀρκάδων τε καὶ Μαντινέων ἄρχων
ἦν στραταρχῶν καὶ ναυαρχῶν νηῶν ἑξηκοντάδος.
Τῶν Ἐπειῶν Ἠλείων δὲ τέσσαρες ἐναυάρχουν,
Ἀμφίμαχος καὶ Θάλπιος, Πολύξενος, Διώρης·
Ἀμφίμαχος Κτεάτου μὲν παῖς καὶ τῆς Κλεοβούλης,
ὁ Θάλπιος Εὐρύτου δὲ υἱὸς καὶ τῆς Κλυτίας,
Πολύξενος δὲ Μάριδος υἱὸς καὶ Ἀγασθένους,
ὃς Ἀγασθένης ἦν υἱὸς Αὐγείου βασιλέως·
ὁ τέταρτος δὲ ναύαρχος Ἠλείων ὁ Διώρης
παῖς ἦν τῆς Μνησιμάχης τε καὶ τοῦ Ἀμαρυγκέως·
πλοῖα δὲ τεσσαράκοντα τοῖς τέσσαρσιν ὑπῆρχον.
Ὁ Μέγης τοῦ Φυλέως δὲ υἱὸς καὶ τῆς Ἀγνήτης,
Κτημένης καθ' ἑτέρους δέ, κατ' ἄλλους Κτησιμάχης,
νηῶν ἦν τεσσαράκοντα ναύαρχος στρατηλάτης,
ἄρχων τοῦ Δολιχίου τε καὶ νήσων Ἐχινάδων,
περὶ τὸν Ἀχελῷον τε καὶ τόπους τοὺς ἐκεῖσε.
Ὁ τοῦ Λαέρτου Ὀδυσσεὺς παῖς καὶ τῆς Ἀντικλείας
δώδεκα πλοίων ναύαρχος ὑπῆρχε Ζακυνθίων.
Ὁ Θόας τοῦ Ἀνδραίμονος καὶ Γόργης τῆς Οἰνέως

(562) Τὸν δὲ] Schol., τὸν Εὐρύαλον.
(563) A, ἀστράτου.
(564) A B, ἀλκαίου. C, ἀγκαίου, ut in Il. 2, 609.
(566) B, στρατηγῶν. Conf. v. 604, 607, 610.
(568) Deest in A B, omissus ob simile initium versus 569. Conferatur Ilias 2, 620.
(570) B, λυτίας. C. κλιτύας.
(571) B, μάδιρος.
(576) A, φιλέως... ἀγνήτης. B C, ἀγνήτης.
(577) A, ἄλλους κτησιμάχης. B C, τῆς συμμάχης.
(579) C, δουλιχίου, ut est in Il. 2, 625, 629. A B, δολιχίου. Strabo de Echinadibus 10, p. 48: ὧν τὸ Δουλίχιόν ἐστι, καλοῦσι δὲ νῦν Δολίχαν. Meletius Geographus de eisdem insulis: ἐκ τῶν ἄνωθεν Νησίων τινὰ ἔχουσιν ἴδια ὀνόματα, οἷον... τὸ Δολίχειον, κοινῶς Μέγα Νησί. Credo prætulisse Tzetzam nomen notius.
(580) B, τόπον τόν.
(582) B, ὑπῆρξε Ζακυνθ.

ἀρχὸς ἦν τεσσαράκοντα νηῶν ἐξ Αἰτωλίδος.
Τῶν Κρητικῶν δὲ πόλεων τῶν ἑκατὸν ἐκράτουν
Ἰδομενεὺς σύναμα δὲ τούτῳ καὶ Μηριόνης·
ὁ μὲν τοῦ Δευκαλίωνος υἱὸς καὶ Κλεοπάτρας,
ὁ Μηριόνης δὲ υἱὸς Εὐίππης καὶ τοῦ Μόλου,
εἰς πλοίων ὀγδοήκοντα συμπαρυπῆρχε στόλος.
Ὁ Ἡρακλέος δὲ υἱὸς ἅμα καὶ Ἀστυόχης
Τληπόλεμος Ῥοδίων ἦν πλοίων ἄρχος ἐννέα.
Νιρεὺς ὁ τοῦ Χαρόπου δὲ υἱὸς καὶ Ἀγλαΐας,
ὁ πάντων ὡραιότερος μετὰ τὸν Ἀχιλέα,
καὶ πάντων ἀσθενέστερος στρατηλατῶν Ἑλλήνων
τῶν ἐκ τῆς Σύμης ναύαρχος τριῶν ὑπῆρχε πλοίων.
Ὁ Φείδιππος καὶ Ἄντιφος τοῦ Θεσσαλοῦ οἱ παῖδες,
ὅστις ὑπῆρχε Θεσσαλὸς υἱὸς τοῦ Ἡρακλέους,

(584) In C superscripta nomini Αἰτωλίδος varietas quam non potui legere integram, τῆς ναπ.

(585) A, κρητικῶν, iterum pro ἑκατόν.

(586) C, σύναμα. A B, σὺν ἅμα. Eadem varietas in Lucianeo Piscatore c. 51.

(587) ὁ μὲν] Sch. ὁ Ἰδομενεύς.

(588) C, μυριόνης, qui modo exhibuit μηρ.

(589) A, εἰς πλ. — στόλων.

(591) B, ἄρχων.

(592) B, ὁ νιρεὺς ὁ τ. χ. δέ, versu longiore. Longior versus Tzetzæ in Anecdotis Oxon. p. 341, 9, Ἡ πάροδος ὅλη χοροῦ δὲ παράβασις, justo constabit numero syllabarum, δὲ si tolletur. Monet editor esse in codice quo utitur, ὦ παράβασις. Vocativus ὦ παρ. prorsus est alienus. In codice 2644 quo utor, lego tantum δε παρ.; sed interlinearis est ante παρ. figura rotunda quam mediam lineola secat, et quæ literæ ω non valde dissimilis est; illam pro signo habeo quod ad marginem amandet oculos, ubi scholium: τί ἡ παράβασις. Alium obiter Tzetzæ versum tangam ibid. p. 337, 12: Ὅμηρός ἐστι καὶ πατὴρ κωμῳδίας, Καὶ σατυρικῆς ὁμοῦ καὶ τραγῳδίας. Vel in isto liberrimo poeseos genere tamen plerumque iambus sedum parium retinetur, saltem pes δίχρονος. Atqui me morabatur ὁμοῦ καὶ, quod inspecto codice, corrigam, rescripto ἅμα καί. A nomine Aglaiæ matris designatur Nireus in Luciani Charidemo 24: ἐάν τε τὸν Ἀγλαΐης... κάλλει νικῶμεν. Homerus Il. 2, 672: Νιρεὺς Ἀγλαΐης θ' υἱὸς Χαρόποιό τ' ἄνακτος.

(593) Nirei eximia pulcritudo fuit ab Homero prædicata loco nobilissimo Iliadis 2, 673: Νιρεὺς ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλείωνα. Tzetzes Chil. 1, 239: ὡραῖος ἦν τῷ κάλλει Πάντων Ἑλλήνων τῶν λοιπῶν. Ibi scholium in Cod. 2644: ἀντὶ τοῦ ὡραιότερος· τὸ ἁπλοῦν ἀντὶ τοῦ συγκριτικοῦ. Lepide Dialogo Mort. 25 Lucianus colloquentes facit formosissimum Græcorum ac turpissimum, Nirea et Thersitem. Remitto, si sit tanti, lectorem ad notam in Manassis mythistoriam 8, 10.

(596) Codices A et B, πλοίων τριῶν ὑπῆρχεν.

Κώων καὶ Νισυρίων τε καὶ Κραπαθίων ἦρχεν·
τριακοντὰς ὑπῆρχε δὲ τούτοις τῶν πλοίων στόλος.
Ὁ πρῶτος πάντων δὲ πεσὼν τῇ συμβολῇ πολέμου,
ὁ ἥρως Πρωτεσίλαος, ἀνὴρ Λαοδαμείας,
Ἰφίκλου Διομήδης τε τερπνὸς υἱὸς ὑπάρχων,
τῶν ἐκ Φυλάκης, Ἴτωνος, καὶ τῶν ἐξ Ἀντρωνείας
ἦν στρατηγὸς καὶ ναύαρχος σὺν ἀδελφῷ Ποδάρκει·
ὁλκάδες τεσσαράκοντα τούτων ὑπῆρχε στόλος.
Εὔμηλος τῆς Ἀλκήστιδος υἱὸς καὶ τοῦ Ἀδμήτου
ἕνδεκα πλοίων ναύαρχος ὑπῆρχε καὶ στρατάρχης,
Βοίβης, Φερῶν καὶ Γλαφυρῶν καὶ Ἰολκοῦ κατάρχων
Ὁ Φιλοκτήτης Ποίαντος υἱὸς καὶ Δημωνάσσης
ἑπτὰ νηῶν ἦν στρατηγὸς τῶν ἀπὸ τῆς Μεθώνης·
ὡς δὲ δηχθεὶς ὑπ' ὄφεως ἦν ἐκριφεὶς ἐν Λήμνῳ,
τούτου τὸ στράτευμα λαβὼν παρέταττεν ὁ Μέδων,
ὅστις ἐκ Ῥήνης ἦν υἱὸς νόθος τοῦ Ὀϊλέως.
Ὁ Ποδαλείριος ὁμοῦ πάλιν δὲ καὶ Μαχάων
οἱ τῶν Ἑλλήνων ἰατροὶ καὶ στρατηγοὶ γενναῖοι,
Ἀσκληπιοῦ καὶ Ξάνθης τε ἢ Ἱππονόης παῖδες,
κατ' ἄλλους Ἠπιόνης δέ, κατῆρχον τῶν Τρικκαίων,
στόλον ἐκ πλοίων ἔχοντες μιᾶς τριακοντάδος.
Εὐρύπυλος Εὐαίμονος παῖς καὶ τῆς Δηϊτύχης.
εἴτε, καθὼς συγγράφουσι τινές, τῆς Δηϊπύλης,

(598) A, κόων... καπαθιών.

(602) B, ὀφίκλου. In C supra διομήδης est scripta varietas quam non sum assequutus totam, tantum, γρ. καὶ διωρ. Nomen Διομήδη firmatur Hygino Fabula 103 : « Iolaus Iphicli et Diomedeæ filius... quem cuncti adpellarunt Protesilaum »

(603) A, ἥττονος.

(607) C, καὶ στρατηγὸς ὑπῆρχε.

(608) B, φοίδης. C, φοίβοις. A, δοίβης. In C supra γλαφυρῶν nomen σερρῶν, scriptum est, parum nitide. B, οἰλκοῦ.

(611) A B, λίμνῳ.

(613) A, ἀχιλλέως. Dicitur Il. 2, 727 : Ὀϊλῆος νόθος υἱός. Rhene igitur non fuit Oilei uxor legitima, quod nuper dictum est.

(617) A, ἱππιόνης. B C, ἠπιόνης.

(619) B, συρύπυλος. A, διπύλης. B C, δηϊτύχης.

ἦρχε τῶν Ὀρμενίων τε καὶ τῶν ἐξ Ὑπερείας,
ἑλκάδας τεσσαράκοντα τὸν στόλον κεκτημένος.
Δύο τῶν ἐκ Γορτύνης δὲ ἦσαν οἱ στρατηλάται,
ὁ Πολυποίτης δισκευτὴς μετὰ τοῦ Λεοντέως·
ὧν ὁ μὲν παῖς Πειρίθου τε καὶ τῆς Ἱπποδαμείας,
ὁ Λεοντεὺς Κορώνου δὲ υἱὸς καὶ Κλεοβούλης·
Κόρωνος τοῦ Καινέως δὲ φίλος υἱὸς ὑπῆρχε·
καὶ τούτοις τεσσαράκοντα στόλος ὑπῆρχε πλοίων.
Γουνεὺς ὁ τοῦ Ὠκύτου δὲ καὶ τῆς Ταυροπολείας,
εἴτουν, ὡς γράφουσί τινες, ὁ τῆς Ἱπποδαμείας,
τῶν Αἰνιάνων, Περραιβῶν, καὶ τῶν Κυφαίων ἦρχεν,
ἑλκάδων στόλον εἴκοσι καὶ δύο κεκτημένος.
Μαγνήτων δὲ ὁ Πρόθοος κατάρχων ἐναυάρχει,
τοῦ Τενθρηδόνος ὢν υἱὸς μητρὸς ἐξ Εὐρυμάχης,
εἴτε τῆς Κλεοβούλης δὲ παιδὸς τῆς τοῦ Εὐρύτου·
στόλος δὲ τεσσαράκοντα τούτῳ παρῆσαν πλοῖα.
Οὗτοι καθ' Ὅμηρον εἰσὶν Ἑλλήνων ἡγεμόνες·
τοὺς δ' ἄλλους παραλέλοιπεν εἰπεῖν τῇ ναυαρχίᾳ.
Τὸν Κάλχαντα τὸν Θέστορος υἱὸν καὶ Πολυμήλας
τῷ καταλόγῳ μὲν εἰπεῖν παρέλειψε καὶ μόνῳ·

(621) B, Ὀρμενίων. Cf. Il. 2, 734.

(623) A B C, γορτύνης. Homero dicitur Γυρτώνη Il. 2, 738. A B, τε. C, δε. — Sequitur in A versus: οὐχὶ τῶν ἐκ Γορτύνης Κρητῶν, ἀλλ' ἀπὸ τῆς Ἀργίας. In B autem sic procedit: οὐχὶ τῶν ἐκ Γορτύνης τῶν Κρητῶν, ἀλλ' ἀπὸ τῆς Ἀργείας. In C hæc sententia, quæ metro non ligatur, merito margini adscripta est pro scholio: οὐχὶ τῶν ἐκ Γορτύνης τῆς Κρητικῆς, ἀλλὰ τῆς Ἀργείας.

(625) B, ἦν ὁ μέν. Est η rubricatum, accentus et spiritus monstrant rubricatorem pro ω scripsisse η. — Sch. in C, ὁ πολυποίτης super ὁ μέν.

(627) B, Νόρωνος (N est rubricatum; K fuit scribendum) τ. K. δὲ καὶ τῆς ταυροπολείας, miscens vv. 627 et 629. Recepi lectionem C. Non est in cod. A.

(628, 629) Non in B.

(631) A, αἰνειάντων περαι... χωφέων. B, αἰνειάνων, περαι... C, αἰνιάνων περρ. Homerus Il, 2, 749: Τῷ δ' Ἐνιῆνες ἕποντο μενεπτόλεμοί τε Περαιβοί. Sed in Tzetzæ narratione prætuli lectionem περραιβ.

(636) B, τούτων. A B, πλοίων.

(638) C, τῳ καταλόγῳ, et supra τῇ ναυαρχίᾳ. Hoc recepi, quum statim redeat τῷ καταλόγῳ. Nomine ναυαρχία utetur v. 659; usus est v. 470, 506; et in lemmatibus sectionum marginalibus, quæ, ut alia plurima, omisi, quippe inutilia: ναυαρχία Ἀγαμέμνονος, Ἀχιλέως ναυαρχία.

(640) Abest ex A B. Καὶ μόνῳ,

τὸν Εὐβοέα τὸν υἱὸν Ναυπλίου καὶ Κλυμένης,
καὶ παντελῶς ἀπέρριψεν ἔξω τῆς Ἰλιάδος.
Τὸν Τεῦθιν παραλέλειπεν ἐκ τῆς Αὐλίδος αὖθις,
ὑποστραφέντα καὶ αὐτὸν κτείναντα τῇ πατρίδι·
ὁμοίως καὶ Μενέδημον τρωθέντα τῇ Αὐλίδι,
στραφέντα καὶ θανόντα δὲ τῇ γῇ τῇ τῆς πατρίδος,
καὶ τὸν Ὀρμένιον αὐτὸν Αὐλίδι τεθνηκότα·
ἔπειθε γὰρ τοὺς Ἕλληνας μὴ πλεῖν ὡς πρὸς τὴν Τροίαν.
Θερσίτην τὸν τῆς Δίας δὲ υἱὸν καὶ τοῦ Ἀγρίου,
πανευγενῆ μὲν ἕλκοντα τοῦ γένους ῥιζουχίαν,
εἰ καὶ χωλὸς καὶ παραβλὼψ, φοξὸς, κυρτὸς, ψεδνόθριξ,
τοῦ καταλόγου τῶν λοιπῶν ὠστράκισεν Ἑλλήνων.
Ἄλλους πολλοὺς καὶ θαυμαστοὺς παρῆκεν ἡγεμόνας,
τὸν Πολυνείκους Θέρσανδρον ὃν Τήλεφος ἀνεῖλε,
καὶ σὺν αὐτῷ τὸν Ἐπειὸν, υἱὸν τοῦ Πανοπέως,
τὸν μέγαν ἀρχιτέκτονα γενναῖόν τε πυγμάχον,
ὅσπερ, μηχανησάμενος τὸν Δούρειον τὸν ἵππον,
τὴν Τροίαν ἐξεπόρθησεν, ὡς καθεξῆς διδάξω.
Ἀλλ', ἐπειδὴ μεμάθηκας κλήσεις καὶ ναυαρχίας,

quod scilicet ejus aliis locis meminerit.

(641) B, εὐοέα. Glossa in C, τὸν ἐξ εὐρύπου. Debuit scribi τὸν ἐξ Εὐρίπου. Superius ad v. 547, τῶν Εὐβοέων, glossa est marginalis : εὔοια (l. Εὔβοια) ὁ Εὔριπός ἐστιν. Meletius Geographia : Εὔβοια· ἡ ὁποία καὶ Εὔριπος καλεῖται. Nomine Εὔριπος ἀντὶ τοῦ Εὔβοια passim utitur scriptor Chronicorum Romaniæ ac Moreæ. Τὸν Εὐβοέα, videlicet Palamedem. Conf. 867, 895; lib. Δ, 24. Causam cur Homerus de Palamede siluerit, commentus est Philostratus Heroicis p. 728, sed non seriam. Vide et Tzetzæ Exegesin, pp. 20, 148.

(644) B, ἀποστρ. In κτείναντα consentiunt A B C. Forsan αὐτόν.

(645) A, μενέδιμον.

(646) A, θανέντα.

(647) B, ὀρμένιον.

(650) Tzetzes Chil. 7, 888, de Thersite : Γένους τυγχάνων εὐγενοῦς, πατρίδος Αἰτωλίας, Ἀνεψιὸς ἐξάδελφος ὑπάρχων Μελεάγρου. In codice 2644 superscriptum est ὑπῆρχε, adscriptumque scholium ad ἀνεψιος, ἐξάδελφος· τὸ σχῆμα ἑρμηνευτικόν· ἀνεψιὸς γὰρ ὁ ἐξάδελφος.

(651) B, εἰ καί. A C, κἂν ἦν. C, φοξὸς κ. πάρ. χωλὸς, κυρτὸς, ψεδρόθριξ. A, ψεδόθνιξ. Cf. Tzetzes Chil. 7, 891; et infra libro B, 50.

(652) A, ὀστράκησαν. B, ὠστράκησαν. C, ὠστράκισεν.

(653) A B, παρῆκαν.

(654) B, πελυνείκους.

(656) Conf. v. 743.

(657) B, ὅπερ. A B, δούριον.

καὶ τὰς μορφὰς μοι μάνθανε τὰς τῶν ἀριστοτέρων,
καὶ τότε πᾶσαν τὴν ὀφὴν μέχρι τοῦ τέλους μάθῃς.
Ὁ Ἀγαμέμνων, βασιλεὺς ἁπάντων τῶν Ἑλλήνων,
ἦν μέγας, δασυγένειος, λευκὸς, ἀλλὰ μελάνθριξ,
εὐπαίδευτος, εὐόμιλος αὐτοῦ τοῖς διαλόγοις.
Ὁ δὲ Μενέλαος κοντὸς, ὑπόπλατυς ὑπῆρχε
πυρρόθριξ, δασυγένειος, ξανθόθριξ καὶ δασύθριξ.,
Ὁ Νέστωρ μέγας καὶ γλαυκὸς, ὑπόπυρος ὑπῆρχε
μακρόρριν, μακροπρόσωπος, παμφρόνιμος, λευκόθριξ.
Ὁ τούτου παῖς Ἀντίλοχος νεώτερος ἦν πάντων,
λευκὸς, μακρόρριν καὶ γλαυκὸς, εὐτράχηλος, εὐῆλιξ,
ξανθὸς, καλλίθριξ, δρομικὸς, καὶ τῶν γρηγοροφθάλμων,
εὔσκυλτος, εὐανάτρεπτος, ἐρυθριῶν συντόμως.
Ὁ Ἀχιλεὺς μακροσκελὴς, ὑπόσπανος ὑπῆρχε,
λευκὸς, ξανθόθριξ καὶ σγουρὸς, δασύθριξ καὶ μακρόρριν,

(660) ἀριστοτέρων jam v. 477.

(661) A B, μάθοις. C, μάθῃς, quod malui. Ille aoristus recentioribus passim in sensu futuri. Tzetzes Chil. 5, Hist. 32, de Archimede, qui Hieroni ὑπῆρχεν Σύμβουλος (melius codex ὑπῆρχε) remittit lectorem ad locum superiorem, ubi, inquit εὕρῃς τὰ Ἀρχιμήδους μοι πρὸς πλάτος γεγραμμένα. Bene habet εὕρῃς editionis, male codicis 2644 εὕροις. Cf. n. ad 478, 934.

(663) Isaacio Porphyrog. μελάνθριξ dictus est Agamemnon p. 305. Eidem p. 317, Hector est οὐλόθριξ, adde μελάνθριξ e codice. Cf. v. 708, 793.

(665) Isaacius Porphyr. in descriptione Menelai : ὁ Μενέλαος ὁ τούτου (Agamemnonis) ἀδελφὸς (cod. 817 αὐτάδελφος) βραχὺς (cod. κονδός). Non differunt sensu nec sono κονδὸς et κοντός. Quid sit κοντὸς explicuit Mauropus in meis Anecdotis gr. t. 3, p. 475 : ἄνθρωπος κοντὸς,...αἰτιολόγος ἐστίν... ἄνθρωπος κοντὸς, ἤγουν τὴν ἡλικίαν μικρός. Isaacio pariter p. 309 Meriones est βραχὺς, in codice κονδός. Cassandra βραχεῖα p. 316, in codice κονδή. Diomedes βραχυτράχηλος p. 307, in codice κονδοτράχηλος. Justinianus Malala teste ἦν τῇ ἰδέᾳ κοντοειδής, ubi Chilmead. Tzetzæ posthomericis 661, ut et inferius v. 711, Diomedes esse fertur κονδόθριξ, quod in scholio reddit per βραχυῆλιξ, multa de etymo addens. Zalyci gallicum *bref* vertitur βραχὺς, κοντός. — A B, ὑπόπλατος. C, ὑπόπλατυς, quo epitheto utitur Tzetzes ad Lyc. 641.

(666) B, εὐρρόθριξ. Non valde discrepant πυρρόθριξ et ξανθόθριξ· at de eodem Menelao dicta minus convenire videntur. Isaacio Menelaus esse πυῤῥὸς dicitur.

(669) C, ἀντίοχος.

(672) Pyrrhus, Achillis, filius Isaacio Porphyr. εὔσκυλτος fuisse prædicatur p. 310.

(673) Cangio σπανὸς significat eum cui rara est barba. Fuit ergo Achilles malibarbis. Consentit in descriptione Isaacius p. 305 : ὁ Ἀχιλλεὺς... μακρόσκελος, σπανός, vertente Allatio, cui hæc recentiorum lingua fuit notissima, « barba rara ».

(674) A B, πυρὸς, scilicet πυρρὸς,

γυναικοπρόσωπος, φαιδρὸς, καὶ τῶν γρηγοροφθάλμων,
ταχυδρομῶν, γλυκύφωνος, πικρόθυμος, ὀργίλος.
Ὁ Φοῖνιξ γέρων, φρόνιμος, μέσος τὴν ἡλικίαν,
μακρόθριξ, εὐχαράκτηρος, μελίχρους τὴν ἰδέαν,
τὴν φύσιν συντομόδακρυς καὶ τῶν θλιβεροψύχων.
Ὁ Πάτροκλος μεσῆλιξ ἦν, ὑπόπυρρος, ξανθόθριξ,
εὐπώγων καὶ προχείλιος, πλὴν εὐειδὴς τὴν θέαν·
Αἴας ὁ Τελαμώνιος, ὁ πύργος τῶν Ἑλλήνων,
ἦν μέγας, ἀλλ' εὐσύνθετος, εὔριν, σγουρὸς, μελάνθριξ,
τὴν γενειάδα κάλλιστος, ὀργίλον ὑποβλέπων,
κάλλει νικῶν τοὺς σύμπαντας πλὴν Ἀχιλέως μόνου.
Ὁ δὲ Λοκρὸς ὁ Αἴας ἦν μακρός τε καὶ μελίχρους,
σγουρομελάνθριξ καὶ στραβὸς, καὶ τῶν μακροπροσώπων,
πηδητικὸς, ἐγρηγορὼς, καὶ τῶν εὐπεριστρέπτων.
Ὁ Μενεσθεὺς μεσῆλιξ ἦν, ὑπόλεπτος, μελάνθριξ,
ἐγρηγορὼς, εὐπαίδευτος, ἔμπειρος στρατηγίας,
ἱππότης ἀπαράμιλλος ἄχρι τοῦ νῦν τοῦ χρόνου.
Ὁ δέ γε Διομήδης ἦν τετράγωνος τὸ σῶμα,
σιμὸς καὶ σιμοτράχηλος, ξανθὸς τὴν γενειάδα,
καὶ βραχυῆλιξ πρὸς αὐτοὺς τοὺς ἥρωας οὓς γράφω·
ἐπεὶ τούτου λωρίκιον ὕστερον ἐφευρέθη

quod post ξανθόθριξ displicet, ut v. 666. Opportune C obtulit σγουρὸς, quod et ex Oxoniensi libro citat Hodius Appendice ad Malalæ p. 129. Id epithetum redibit v. 683, 687, 707, 709, 711, 798, et c. Vocatur σγουρὸς in cui sunt capilli crispi, φύσει βοστρυγιζόμενος. Vide Corayi Atacta t. 1, p. 56. Zalyci *frisure* vertitur κτένισμα σγουρόν. Inferius v. 948 σγουρὴ est glossa epitheti οὐλόθριξ.

(676) A B, γλυκόφωνος. C, γλυκύφωνος. Cf. lib. A, 97.

(677) B, φοίνιξ. A C, φοῖνιξ.

(682) Homerus de Ajace illo Telamonio, verbis Ulyssis Ajacem compellantis apud inferos Od. 11, 555: Τοῖος γάρ σφιν πύργος ἀπώλεο. Et infra Tzetzæ libro O, 152 Ajax πύργος Ἑλλήνων dicitur. Nestor infra libro A Achillem dicit esse πύργον Ἑλλήνων. Nonnihil illustrationis dedi ad Theocritum 22, 220 edit. sec.

(691) A, μέχρι.

(693) Verbis σιμὸς καὶ σιμοτράχηλος superscriptum in C, πατζὸς, κονδοτράχηλος. Conf. n. 665. De πατζὸς Corayus Atactis 5, p. 280. Zalyces gallicum *camus* vertit σιμός.

(695) A B, ἐκ τούτου λωρικός. C,

ἔσωθε λάρνακός τινος ἐν τῇ Λογγιβαρδίᾳ,
ἀνδρὸς μεγάλου μέγεθος, οὗ τῶν ζαβῶν τὸ πάχος
εἰς ὄγκον ἦν ἰσόμετρον κονδύλου μεσαιτάτου,
ὃ ἱερῷ τῆς Ἀθηνᾶς ἐκρέμασαν ὡς θαῦμα.
Εὐρύαλος *πλατύτατος, κατάσαρκος ἦν, μέγας,*
μακρόθριξ, εὐχαράκτηρος, εὐπρόσωπος, τῶν μέσων.
Ὁ Σθένελος *εὐῆλιξ ἦν, εὔθετος, εὐχαράκτηρ,*
δειλός, ὑβρίζων, ἀναιδής, ἀστήρικτος τὰς φρένας.
Ὁ Ὀδυσσεὺς *μεσῆλιξ ἦν, λευκός τε καὶ προγάστωρ,*
ἀπλόθριξ, στρεβλογνώμων δέ, πικρός τε καὶ μακρόρριν.
Ὁ Θόας *ἦν περίεργος, λεπτός τε καὶ μεσῆλιξ,*
λευκός, σγουρός, ὑπόγλαυκος, εὐσύμβουλος καὶ νέος.
Ἰδομενεὺς *μεσόγηρως, μέσος τὴν ἡλικίαν,*
μέλας ὁμοῦ τε καὶ σγουρός, κονδόθριξ, δασυπώγων.
Ὁ Μηριόνης *δὲ στρεβλὴν ἐκέκτητο τὴν ῥῖνα,*
κονδὸς ὑπάρχων καὶ πλατύς, εὔθριξ, σγουρός, εὐπώγων·
Ὁ Πρωτεσίλαος, *ἀνὴρ ὁ τῆς* Λαοδαμείας,
καλός, μακρός, εὐσύνθετος, οὐλόθριξ καὶ μελάνθριξ,

τούτου λωρίκιον. Et sic codex Hodii loco citato; qui tamen errore calami vel typorum exhibuit χωρίκιον.

(696) A B, ἔσωθεν. C, ἔσωθε. Repertam Diomedis fuisse loricam ἐν Λογγιβαρδίᾳ iterum narrabit scholio ad librum II, 88. Quum Italiam post Trojanum bellum petere coactus Diomedes fuerit, ibique Argos, Hippium aliasque urbes condiderit, factum ipsum non caret probabilitate. De adjunctis fides inhibenda.

(697) Ζάβα ἢ λωρίκιον in lexicis. Vide Chilmead. ad Malalæ verba de Juliano p. 20: εἶδεν ἐν ὁράματί τινα τέλειον ἄνδρα ἐνδεδυμένον ζάβαν. Sed hic loci ζάβαι manifesto sunt, non lorica, sed partes loricæ; οὗ scilicet λωρικίου, non ἀνδρός, ζάβαι æquabant crassitudine pugnum dimidium. Sed Hodius l. cit., οὗ τῶν κομῶν.

(698) In C ad ἰσόμετρον glossa ἰσοπαχές. Hodius ἰσόμερον κονδύλῳ μεσαιτάτῳ.

(701) A, εὐπροσωπῶν. B C, εὐπρόσωπος.

(702) In C additum ος in fine vocis εὐχαράκτηρ, sed a manu altera et atramento dilutiore, ut non habeatur pro varietate, sed sit loco glossæ, monentis esse εὐχαράκτηρ ἀντὶ τοῦ εὐχαράκτηρος. Est varietas λεπτοχαράκτηρα in A v. 884.

(703) A B, εὐστήρικτος. C, ἀστήρ.

(707) A, εὐσύμβολος. B C, εὐσύμβουλος. — Hodius Appendice ad Malalæ p. 429, invenit λεπτὸς σγουρὸς, ni potius erraverint oculi ad versum præcedentem. De σγουρὸς ad v. 674.

(709) Ad κονδόθριξ et quod proxime sequitur κονδὸς vide n. 665.

(711) B, εὔθριξ δασυπώγων.

(713) B C, καὶ ξανθόθριξ.

ὡραῖος, νέος, τολμηρὸς καὶ τῶν εὐκαταστάτων.
Λιπὼν δὲ Λαοδάμειαν νύμφην ἐν τῷ θαλάμῳ,
σὺν τοῖς λοιποῖς ἐστράτευσε τοῖς Ἕλλησιν εἰς Τροίαν,
πρῶτος δὲ πίπτει τῶν λοιπῶν, ὡς προπηδήσας πρῶτος.
Εὔμηλος τῆς Ἀλκήστιδος μητρὸς τῆς παναρίστης,
ἥτις αὐτὴν ἐπέδωκε θανεῖν ὑπὲρ συζύγου,
ὡραῖος καὶ εὐῆλιξ ἦν, εὐπαίδευτος, ξανθόθριξ.
Εὐμήκης, μέλας, σύνοφρυς, ὑπῆρχε Φιλοκτήτης.
Ὁ Κάλχας ὁλοπόλιος, μικρὸς τὴν ἡλικίαν,
λεπτὸς τὸ σῶμα καὶ λευκός, καὶ δασυχαίτης ἅμα.
Ὁ Παλαμήδης, Κάτων τε ὁ πρῶτος, καὶ ὁ Τζέτζης,
εὐήλικες, εὐτράχηλοι, μακρόρρινες συμμέτρως,
συμμέτρως μακροπρόσωποι, γοργοί, τῶν αἰδημόνων,
λεπτοί, γλαυκοί, χρυσόχροες, πυρρότριχες καὶ οὖλοι;
σωματικοῖς καὶ ψυχικοῖς ὅμοιοι πᾶσιν ὄντες,
ὡς καὶ τὴν κόμην αὐχμηρὰν ἐξ ἀλουσίας ἔχειν,
καὶ συμπεσεῖν τὴν πλείονα καὶ διερρυηκέναι·
Ἐμοῦ δ' οὗτοι διέφερον τῷ μὴ θυμοῦσθαι μόνον,
εἰ τέως οὐχὶ ψεύδονται τῶν συγγραφέων βίβλοι·
αἱ κράσεις αἱ τοιαῦται γὰρ θερμαί τε καὶ θυμώδεις,
εἰ μή που περισσότερον εἶχον ἐμοῦ τὸ φλέγμα.

(714) Εὐκαταστάτων] Tzetzæ Chil. 3, 264, Ajax Telamonius dicitur Ὁ νουνεχής, ὁ συνετός, ὁ τῶν εὐκαταστάτων.

(717) Προπηδήσας] Tzetzes ad Lycophr. 245: προπηδήσαντος δὲ τοῦ Πρωτεσιλάου καὶ ἀναιρεθέντος. Idem videndus Chil. 2, 762. Cf. infra v. 823, 836.

(718) A, ἀλκίστιδος.

(723) B, λευκὸς τὸ σ. κ. λεπτός. Cf. Tzetzes Posthomericis v. 666, de Calchante vate.

(725) A, σύμμετροι.

(727) C, οὖλοι, cum glossa σγουροί. Vide n. ad 674.

(731) B, ὁμοῦ, sed O rubricato, et τό.

(732) A B, βίβλοι. C, λόγοι, et sic Chil. 3, 183, ubi Tzetzes hocce versu et aliis est usus, se Catoni Palamedique comparans. Atque Chil. 11, 20, de se homo in sui laudes proclivior: Ὁ Τζέτζης ἀδωρότατος ἦν παλαιῶν τῷ ζήλῳ, Ἐπαμεινώνδου, Κάτωνος καὶ ἄλλων τῶν τοιούτων. Monet Kiesseling inseruisse se ἄλλων, cogitasse et de πάντων. Codex 2644: καὶ τῶν τοιούτων πάντων. Ibi Tzetzes narrat oblata sibi dona sæpius recusavisse: Ὡς καὶ μεγίστῃ τῇ λιμῷ, ἄρχοντος τῶν ἐνδόξων θέλοντος σιτηρέσιον (codex, σιτηρέσια) τούτῳ καὶ δούλοις φέρειν, κ. τ. λ.

Καὶ τῷ φιλοκερδέστατος καὶ φειδωλὸς ὑπάρχειν,
ἐμοῦ Κάτων διέφερεν, ὅμοιος ὢν τοῖς ἄλλοις·
ἐμοὶ δὲ πλέον τοῦ ἀνδρὸς τοῦ Κάτωνος ὑπάρχει
τὸ μὴ κρατεῖσθαι χρήμασι· θυμὸς ἐπὶ δικαίοις
πῦρ πνέων, ὥσπερ Κάτωνι δευτέρῳ, παρυπῆρχε.
Τὸν Ἐπειόν μοι μάνθανε τίς ἦν κατὰ τὴν θέαν·
λευκός, ὡραῖος, εὔχαρις, μέγας εἰς ἡλικίαν,
νέος, δασύθριξ καὶ ξανθός, δειλὸς ὑπὲρ ἐλάφους,
μηχανητὴς πανάριστος, πυγμάχος τε γενναῖος.
Ἐπεί σοι νῦν κατέλεξα καὶ τὰς μορφὰς ἡρώων,
πάλιν πρὸς τὴν ὑπόθεσιν τὸν λόγον ἀνακτέον.
Ὡς πᾶν οὕτω τὸ στράτευμα συνήχθη πρὸς Αὐλίδα,
εἰς ἀριθμὸν ποσούμενον ὢν ἔφην χιλιάδων,
εἰς στόλον καὶ ναυάρχους τε τοὺς ἄνω λελεγμένους,
ἀνέμοις κατεσχέθησαν ἐκεῖσε χειμερίοις,
ἀνθ' ὧν, ὡς γράφουσί τινες ἐκ τῶν μυθογραφούντων,
ὁ Ἀγαμέμνων ἔλαφον Ἀρτέμιδος τοξεύει.
Ὅθε τὴν Ἰφιγένειαν αὐτοῦ τὴν θυγατέρα,
ἐκ τῆς Μυκήνης ἄξαντες, ἔμελλον θύειν τότε,

(735) A, τὸ φιλοκερδέστερον καὶ φειδωλόν. B, τῷ φιλοκερδέστερος καὶ φειδολός. Exhibeo lectionem C, similem versui 186 Chiliadis 3. Sed ibi in scholio se corrigit, quod exhibetur in Anecdotis Crameri Oxoniensibus t. 3, p. 351 : φιλοκερδέστατος] ἀφιλοχρηματώτατον [monet Cramerus esse in A ἀφιλοχρημώτατος. Sed quum ex ejus Præfatione didicerim ipsi vocari A codicem Parisiensem 2644, ibi nitidissime scriptum esse video ἀφιλοχρηματώτατον] τὸν ἄνδρα εἰδὼς ἐκ τῶν σταλέντων ἐκ Βρεττανίας χρημάτων αὐτῷ, ἐπείσθην τοῖς ἀσκόπως ληροῦσι φιλοχρήματον τοῦτον εἰπεῖν, οἰκονομικῶς τοὺς γεγηρακότας τῶν αὐτοῦ ἀπεμπολοῦντα βοῶν. Ceterum mendum esse videtur in βοῶν vel calami, vel memoriæ Tzetzæ quamvis μνημονεστάτου. Plutarchus enim Catone c. 4 : πρεσβυτέρους γενομένους (τοὺς δούλους) ᾤετο δεῖν ἀποδίδοσθαι καὶ μὴ βόσκειν ἀχρήστους.

(738) C, θυμός, ut in Chiliadibus. A B, θυμόν, Distinxi plene post χρήμασι.

(739) De est in B.

(743) Conf. v. 656.

(745) B, ἀνατείνω. A, ἀνεκτέον. C, ἀνακτέον.

(747) Conf. v. 469.

(752) A B, ὅθεν. C, ὅθε, superscripto λι' ὅ. Conf. n. 389. Hyginus F. 98 : « in Aulide tempestas eos ira Dianæ reti» nebat, quod Agamemnon in venando » cervam ejus violavit, superbiusque in » Dianam est locutus ». Ibi interpretes, addito Rulezio ad Ptolemæum Hephæstionem p. 442.

(753) Ἐκ τῆς Μυκήνης ἄξαντες]

διαδραμοῦσαν δ' ἔλαφον σφάττουσιν ἀντ' ἐκείνης,
ἐκείνην δὲ ἱέρειαν Ἀρτέμιδος ποιοῦσιν.
Ἡ δ' Ἄρτεμις οὐκ ἄλλη τις ἐστὶν ἀλλ' ἡ σελήνη.
Ἀνέμων δ' ἔπειτα φορῶν πνευσάντων καὶ πομπίμων,
Διὶ θυσίας ἔθυον πρὸς κρήνην ἐν Αὐλίδι,
πρὸς ἥνπερ κρήνην δράκων τις εἰς πλάτανον ἑρπύσας
μέσον παντὸς Ἑλληνικοῦ, πάντων ὁρώντων τοῦτον,
ὀκτὼ στρουθοῦ νεόττια νήπια κατατρώγει,
καὶ τὴν μητέρα τῶν στρουθῶν κατέφαγεν ἐννάτην.
εἶτα πρὸς λίθων που σωρὸν κρυβεὶς ἐξηφανίσθη,
ὅπερ καὶ ἀπολίθωσιν τοῦ δράκοντος καλοῦσι.
Τοῦ μάντεως δὲ κρίναντος τοῖς Ἕλλησι τὸ τέρας,
ὅτι « Καθάπερ βέβρωκεν ὀκτὼ στρουθοὺς ὁ δράκων
« ἐννάτην δὲ κατέφαγε σὺν τούτοις τὴν μητέρα,
« ἔπειτα παρεισέδραμεν εἰς τὴν λιθοσωρείαν,
« οὕτως ὑμεῖς, ὀκταετῶς τοὺς Τρῶας ἀναιροῦντες,
« ἐννάτῳ καὶ τὸν Ἕκτορα σὺν τούτοις ἀναιρεῖτε,
« δεκάτῳ καθελεῖτε δὲ καὶ τείχη τὰ τῆς Τροίας ».
Οὕτως εἰπόντος μαντικῶς τοῦ Κάλχαντος τὸ μέλλον,
δευτέρους ὅρκους Ἕλληνες ὀμόσαντες φρικώδεις
μηδένα πρὸ πορθήσεως τῆς Τροίας ὑποστρέφειν,

vide scholium Tzetzæ ad sua Antehomerica 194.

(756) B, τις ἦν, ἀλλ' ἡ φαιδρά σελήνη. A, τις ἦν ἄλλη ἡ σελήνη. C, quod recepi.

(757) AC sine δ'.

(758) A, κρήτην, sed 759 κρήνην.

(760) B, παντός τε τοῦ στρατοῦ. C, π. στρατεύματος. A, π. Ἑλληνικοῦ.

(761) A B, τρώγει τέκνα. C, κατατρώγει.

(763) C, ποῦ. Memini, in Tzetzæ opusculis de poetis quæ Cramerus tertio Anecdotorum Oxon. volumini inseruit, sæpissime offendere ad πῶς, quod sine accentu scribendum fuerat.

(764) B, καλοῦσιν.

(765) In C super μάντεως scriptum δὲ κρίναντος, quod recepi pro εἰπόντος δὲ codd. A B. Lemma in codice C: μάντευμα τοῦ Κάλχαντος πρὸς τοὺς Ἕλληνας ἐκ τῶν στρουθῶν καὶ τοῦ δράκοντος.

(769) A; ἡμεῖς C miscuit υ et η, electione lectori permissa. B, ὑμεῖς, quod καθελεῖτε postulat

(770) C, ἐνάτῳ. Ac modo sic scripsit ἐνάτην.

λύσαντες τὰ πρυμνήσια, πετάσαντες ἱστία,
ἤδη λοιπὸν ὡς πρὸς αὐτὴν ἀπέπλεον τὴν Τροίαν.
Ἰρίδων φαινομένων δὲ, τόξων τῶν οὐρανίων,
οἱ Τρῶες, καίπερ ἔχοντες φύλακας προσκοποῦντας
καὶ τὸν Πολίτην σὺν αὐτοῖς υἱὸν τὸν τοῦ Πριάμου,
πρὸ τῶν φυλάκων τῶν αὐτῶν καὶ πρὸ τῶν μηνυμάτων,
ἐκ τῶν σημείων ἔγνωσαν ζάλην δεινοῦ πολέμου,
καὶ περὶ πόλιν Μύριναν οὖσαν πλησίον Τροίας
ἐλθόντες καθωπλίσθησαν καὶ στρατοπεδαρχοῦνται,
καὶ πάντες παρὰ θάλασσαν ἔνοπλοι συνδραμόντες
τοὺς Ἕλληνας ἐκώλυον ἐκβαίνειν τῶν ὁλκάδων.
  Ἀλλὰ λεκτέον πρῶτόν μοι καὶ τούτων ἡγεμόνας,
καὶ τότε προχωρήσομεν πρεπόντως πρὸς τὴν μάχην.
  Οἱ τότε Τρώων στρατηγοὶ παρευρημένοι Τροίᾳ
ἦσαν ἑπτὰ καὶ εἴκοσι τὸν ἀριθμὸν, οὐ πλείους,
χωρὶς τῶν συνεχέστερον ὑστέρως ἐρχομένων,
Ῥήσου καὶ Ἱπποκόωντος καὶ τοῦ Ὀθρυονέως,
Πενθεσιλείας, Μέμνονος κρατοῦντος Αἰθιόπων,
καὶ Πολυδάμαντος, Ἰνδοῦ, Μυσοῦ τε Εὐρυπύλου,
καὶ τῶν λοιπῶν τῶν συνεχῶς εἰς Τροίαν ἐρχομένων.
  Καὶ σκόπει μοι καὶ μάνθανε καὶ τούτων νῦν τὰς κλήσεις.
Ὁ Ἕκτωρ ἦν Πριάμου τε υἱὸς καὶ τῆς Ἑκάβης,

(775) A B, ἔλυσαν. C, λύσαντες.

(777) B, φαιν. τε. C, δε. Sed nunc oportuit δὲ cum vi scribi. Nam iridum phænomena ad Trojanorum res spectant. Tzetzes Antehom. 212: Τρωσὶ δ' ἄρ' Ἶρις ἔφαινεν, Ἄρηος σῆμα κακοῖο Οὐρανόθεν πυκινῶς φαεινομένη πολύχροιος. Ibi Jacobsius.

(783) C, στρατοπαιδαρχοῦνται. Cf. n. 867.

(784) A B, περί. C, παρά. Frequens permutatio. Redibit 833. Cyrillus Catecheseon præfatione statim ab initio: ἤδη περὶ τὴν πρόαυλιν τῶν βασιλείων γεγόνατε. Malim παρά. Cf. lib. A, 139, Γ, 116.

(788) C, τρία.

(789) A B, καὶ πλείους. C, οὐ πλ.

(791) A, ζημηκόωντος. B C, ἱπποκ. Fuit Hippocoon Thrax Rhesi consobrinus ac socius.

(792) B, μενθεσιλείας.

(793) B, πολ. ἰνδοῦ. C, πολ., ἰνδοῦ A, ὁμοῦ μισοῦ. Cf. Tzetz. Posthom. 236.

πάνυ μακρὸς καὶ εὔογκος, μελάγχρους τὴν ἰδέαν
σγουρομελάνθριξ, εὔρριν τε, κονδόθριξ καὶ εὐπώγων,
στραβὸς, ψελλὸς, βαρύφωνος, καὶ σθεναρὸς ἰσχύϊ,
καὶ φοβερὸς πολεμιστὴς, κἄνπερ ἐγὼ σιγήσω·.
Ὅμηρος δὲ καὶ τὴν μορφὴν τοῦτον ὡραῖον λέγει.
Οὗτος τῶν Τρώων βασιλεὺς καὶ στρατηγὸς ἦν τότε.
Αἰνείας ὁ Ἀγχίσου δὲ υἱὸς καὶ Ἀφροδίτης,
κονδὸς, παχὺς, πυρράκης τε, λευκὸς, γλαυκὸς καὶ εὔρριν,
εὐπώγων, πλατυπρόσωπος, φρόνιμος, ἀναφάλας.
Οὗτος, σὺν τῷ Ἀκάμαντι καὶ σὺν τῷ Ἀρχελόχῳ,
υἱοῖς τοῖς τοῦ Ἀντήνορος, ἦρχε τῶν Δαρδανίων.
Πάνδαρος ὁ Λυκάονος υἱὸς καὶ τῆς Ἰδαίας,
λεπτὸς, εὐπρόσωπος, γοργὸς, μέσος τὴν ἡλικίαν,
τοξότης εὐστοχώτατος, μελίχρους καὶ μελάνθριξ,
ἦν στρατηγὸς Ζηλειωτῶν ὄντων ἐγγὺς τῆς Ἴδης.
Λαμψακηνῶν ὁ Ἄδραστος καὶ Ἄμφιος κατῆρχον,
ἐκ τῆς Περκοῦς τῆς πόλεως, Μέροπος ὄντες παῖδες.
Ἄσιος, ὁ Ὑρτάκου δὲ υἱὸς καὶ τῆς Ἀρίσβης,
Ἀβυδηνῶν Σηστίων τε καὶ Περκωσίων ἦρχεν.
Ἱππόθοος καὶ Πύλαιος ὄντες υἱοὶ τοῦ Λήθου,
τῶν Λαρισσαίων Πελασγῶν εἶχον τὴν στραταρχίαν·

(797) A B, εὔογγος.

(798) Σγουρομελάνθριξ] Conferatur n. 674, et ad κονδόθριξ, n. 665.

(799) Similia de Hectore libro Γ', 53.

(804) A C, κονδός. B, κοντός. Hoc recepi, quod est accuratius scriptum. Cf. n. 943. Alibi recepi κονδὸς ac modo κονδόθριξ, in libris omnibus inventum. Auctorem ipsum puto sibi constitisse; sed qui ejus manum quæ fuerit divinem? Exhibeo codicum lectionem, et in varietate probabiliorem. — B, παχός. C, πυρράκις. Isaacio etiam Porphyrogenneto p. 314, Dicitur Æneas fuisse πυρράκης, non in editione quidem p. 314, sed a me suppletus ad Choric. p. 346. Conf. Malalæ Chron. in Æneæ charactere p. 133.

(805) Malalæ l. l. Æneas est ἀναφάλας, et Justinianus; de hoc plus quam de illo fidei chronographo tribuam.

(808) B, λύκανος. C, ἰδαίας, literis turbatis. A B, ἰδέας.

(810) B, μελάθριξ. C, μελιθριξ. Cf. n. 884. 885.

(811) A, ζελιωτῶν.

(812) A, ὑπῆρχεν.

(813) Urbs Περκὼ, aliis dicta Περκώτη. C, περκώτης πόλ.

(814) A, ἀρίχης.

(815) A, ἀβυδινῶν, σηστείων.

ὁ Πείρως καὶ Ἀκάμας δὲ Θρᾳκῶν Ἑλλησποντίων,
Μαρωνειτῶν ὁ Εὔφημος, υἱὸς ὁ τοῦ Τροιζήνου·
Πυραίχμης τῶν Παιόνων δὲ, τουτέστι τῶν Βουλγάρων,
τῶν ἐξ Ἀξίου ποταμοῦ, τουτέστι τοῦ Βαρδάρη.
Τῶν Παφλαγόνων στρατηγὸς ὑπῆρχε Πυλαιμένης.
Δῖος καὶ ὁ Ἐπίστροφος τῶν Βιθυνῶν ἐκράτουν.
Ὁ Χρόμις καὶ ὁ Ἔννομος πάντων Μυσῶν ἐκράτουν.
Ὀλυμπηνῶν καὶ Προυσηνῶν, καὶ τῶν ἐντὸς Καΐκου
ὁ Φόρκυς καὶ Ἀσκάνιος Φρυγῶν ἐστρατηλάτουν.
Φρύγες δ' εἰσὶν οἱ Νικαεῖς ὧν Ἀσκανία λίμνη.
Ὁ Μέσθλης δὲ καὶ Ἄντιφος Μηόνων στρατηλάται.
Οἱ Μήονες Λυδοὶ εἰσιν ὧν πόλις αἱ νῦν Σάρδεις·
Ὁ Νάστης καὶ Ἀμφίμαχος Καρῶν καὶ Μιλησίων,
Ὁ Σαρπηδὼν καὶ Γλαῦκος δὲ τῶν Παταρέων ἦρχον.
Οὗτοι μὲν ἦσαν στρατηγοὶ τότε τῶν Τρώων ὄντες,

(820) A.B, Εὐραίχμης. In B ε rubricatur. Rubricatio litterarum multorum fuit causa mendorum. Πυραίχμης nominatur in Catalogo Iliadis v. 848 et libro 16, 287, et Tzetzæ Chil. 10, 190, cujus loci miror Heynium non meminisse ad Catalogum. Et Hodius, qui, Appendice ad Malalæ p. 122. distichon de Pyræchma e codice Oxoniensi profert, πυραίχμης exhibet.

(821) Exhibet Hodius ibidem Ἀσίου ποταμοῦ, conniventibus oculis, opinor. Rectius A B C, ἀξίου, atque ita libro II. 23. Quo posteriore loco in clausula versus hunc poscit accentum. Tzetzes omnino voluit scribi Ἄξιος, de confusione videlicet nominis proprii cum appellativo non sollicitus. Acerbe, Chiliade 10, 185, eos tangit qui Bulgaros a Pæonibus distinguebant, et credebant Ἄξιον ἕτερον τοῦ Βαρδάρη, Ἀξειὸν que pronunciabant. Equidem in Ἀξειὸν repudiaverim diphthongum, non accentum. Olim ad Planudæ Ovidianas Metamorphoses pp. 127, 143, id nomen tractans, in Plethone pro Ἀξειὸν corrigebam Ἀξιὸν, et pro Αὐξειὸν in fluviorum quodam Catalogo. Eodem accentu usos esse in Homero et Herodoto viros video doctrina insignes et diligentia, faventibus etiam grammaticis ac codicibus. Allatius quidem ad G. Acropolitam Tzetzæ assentiri videtur, sed parum hac in re ipsi tribuere licitum sit. In Antonino Liberali c. 8, libenter rescriberem γένος ἔχων Ἀξιοῦ τοῦ ποταμοῦ, pro Ἀξίου.

(822) A, πυλεώνης.

(823) A, δι' οὗ. C sine ὁ,

(824) B sine priore ὁ. A B, χρόμης. In C omissus versus, sed restitutus inter lineas, ac rursus in margine imo cum meliore scriptura χρόμις, quæ Homerica est. Cf. Catalogus v. 858.

(825) A, ὀλυπηνῶν.

(828) A, μέστης. B, μέσθης. C, μέσθλης. Sic in Il. 2, 864. — C, Μηόνων, superscripto μαι, et sic mox. A B, στρατηλάται. C, στρατηλάτα. Hoc minus placuit quod eo numero Tzetzes non utatur.

(829) C, πόλεις.

(830) A, μηλισίων.

(82) ἦσαν... ὄντες] Junctura non insolens. Demosthenes Olynth. 1, § 4: τὸ γὰρ εἶναι πάντων ἐκεῖνον ἕνα ὄντα

εἵτινες, παρὰ θάλασσαν ἔνοπλοι συνδραμόντες
σὺν τοῖς αὐτῶν στρατεύμασι καὶ στρατοπεδαρχίαις,
ἐκώλυον τοὺς Ἕλληνας ἐκβαίνειν κατὰ Τρώων.
Ὡς δ' ἄμφω τὰ στρατεύματα τῶν Τρώων, τῶν Ἑλλήνων,
ἵσταντο μὴ μαχόμενα φόβῳ χρησμῳδημάτων
(ἦν γὰρ χρησμὸς τὸν ἄρξαντα πρῶτον θανεῖν τῶν ἄλλων),
ἰδὼν ὁ Πρωτεσίλαος ἁπάντων τὴν δειλίαν,
ζωῆς ἀδόξου θάνατον ἔνδοξον προτιμήσας,
πολὺ πρὸ πάντων προπηδᾷ κατὰ τῶν Τρώων μόνος,
καὶ τῷ δοκεῖν μὲν σφάττεται, ζῇ δὲ τῇ μνήμῃ πλέον·
Ἕκτωρ γὰρ τοῦτον, Εὔφορβος, Ἀχάτης ἀναιροῦσιν.
Ἡ δὲ σφαγὴ τοῖς Ἕλλησι λυτήριος θυσία,
καὶ νίκη γίνεται λαμπρὰ καὶ παροχεὺς βραβείων.
Αὐτίκα γὰρ θαρρήσαντες ἐξέδραμον τῶν πλοίων,
καὶ συμβαλόντες τρέπουσι τοὺς Τρῶας κατὰ κράτος.
Χείμαρροι γὰρ ἐρρύησαν αἱμάτων τῷ πολέμῳ·
περὶ τὴν νύκτα δὲ λοιπὸν ἁπάντων Τρώων πλῆθος
ὡς πρὸς τὴν Τροίαν προσδραμὸν κλείει τὰς ταύτης πύλας.
Ἡ τοῦ Πρωτεσιλάου δὲ σύζυγος ἡ καλλίστη
μαθοῦσα τὴν ἀναίρεσιν τοῦ νεαροῦ συζύγου,
τὸν στολισμὸν τὸν νυμφικὸν εὐθὺς ἐνδεδυμένη,
αὐτὴν μαχαίρᾳ πλήξασα κατέβη πρὸς τὸν ᾅδην,
νύμφη νυμφίῳ τῷ καλῷ θέλουσα συμπαρεῖναι.

κύριον. Pæanius 1, c. 8 : μικρὰ δὲ ἦν ἔτι τὰ τῆς δυνάμεως ὄντα. Alia dedi notis ad Eunap. p. 357, 598; ad Anecdota Nova p. 182.

(833) A B, περί. C, παρά. Vide n. 784.

(838) A, πρώτως. B, πρῶτος. C, πρῶτον. De oraculo Tzetzes ad Lyc. 245. In codicis C margine e regione hujus loci exstat ab altera manu scripta notula quam non potuisse legere valde me tædet.

(842) A, τό.

(843) Tzetzæ Euphorbus, Achates, Hector nominantur Antehom. 232. Ibi nota Jacobsii.

(846) A B, δέ.

(851) σύζυγος] in C glossa : ἡ Λαοδάμεια.

(854) B C, κατάγει. A, κατέβη. Εἰς ᾅδην κατέβαινεν, Tzetzes ait Antehom. 235.

(855) B, συμπαρῆναι.

Οἱ Ἕλληνες, τῶν Τρώων δὲ κλεισθέντων ἐν τῇ Τροίᾳ,
ταῖς περιχώροις οὐδαμῶς ἦσαν τῶν Τρώων βλάβη,
ἔστ᾽ ἂν ἐκ τῆς Τενέδου τε καὶ πόλεως Τενάνδρου
Κύκνος ὁ Ποσειδῶνος τε καὶ τῆς Σκαμανδροδίκης
νυκτερινὸν τὸν πόλεμον συνήρραξεν ἐκείνοις.
Εὐθὺς γὰρ τοῦτον Ἀχιλεὺς ἀπέκτεινε τῇ μάχῃ,
καὶ πᾶν τὸ τούτου στράτευμα θερίζεται τελέως.
Ὅρκοι λοιπὸν ἐγίνοντο πορθεῖν τὰς περιχώρους,
ὅτι, μηδέν τι δυσχερὲς πρός τινα τούτων δρῶντες,
ἐκ τούτων ἠδικήθησαν, κατάρξαντος τοῦ Κύκνου.
Καὶ τότε τεύξαντες σκηνὰς πλεκτάς τε κατοικίας,
οἱ μὲν αὐτοῦ παρέμενον ἐστρατοπεδευκότες·
ἄλλοι δὲ τὰ περίχωρα τῶν Τρώων ἐξεπόρθουν,
φρικώδεις ὅρκους θέμενοι μηδὲν παρυποκρύπτειν.
Ὁ Ἀχιλεὺς δὲ μάλιστα τὰς πόλεις ἐξεπόρθει,
τοῦ Παλαμήδους σὺν αὐτῷ συστρατηγοῦντος τότε
τοῦ Εὐβοέως, τοῦ σοφοῦ, τοῦ μηχανικωτάτου,
τοῦ ἀριθμοὺς καὶ γράμματα, καὶ τὸν πεσσὸν εὑρόντος,
ζυγοὺς καὶ παρατάξεις τε, σὺν τούτοις ἄλλα πόσα.
Καὶ Διομήδης μὲν πορθεῖ τὴν πόλιν τὴν τοῦ Κύκνου,
καὶ Κόμον τε καὶ Κόκαρτον παῖδας ἀνεῖλε τούτου,
καὶ Γλαύκην χρόνων ἕνδεκα τούτου τὴν θυγατέρα,

(858) A B, τενάνδης. C, τενάνδρου, quod est recentius nomen τῆς Λυρνήσσου. Vid. n. 897.
(860) A B, συνήρραξαν.
(861) A B, δέ.
(864) A B, μηδέ. A, τοῦτον.
(865) B, κατάρξαντες.
(866) B C, πλεκτὰς σκηνὰς καὶ κατ. Cf. Tzetz. Anteh. 262.
(867) A, αὐτούς. A B, παρέδραμον. A, ἐστρατοπαιδ. Eadem permutatio n. 783.
(868) A B, ἄλλοι τε.
(869) A, φρικώδους. C, παραποκρύπτειν.
(870) A, πόλεις. B C, χώρας. Conf. v. 891.
(871) A, συστρ. σὺν αὐτῷ τ. παλ. τότε, τοῦ εὐβοέος.
(872) A B, καὶ μηχ.
(874) Super ζυγοὺς glossa in C, καὶ ζύγια. Nam ζύγιον est recentioribus usitatius quam ζυγός.
(876) C, κόμην... κόκαρχον.

ἢ Λαοδίκην, ὥς τινες γράφουσι τῶν ἑτέρων,
εὐπρεπεστάτην ἤγαγε σὺν τοῖς λοιποῖς λαφύροις
εἰς μέσον τοῦ στρατεύματος παντὸς τοῦ τῶν Ἑλλήνων.
Αἴας ὁ μέγας δὲ πορθεῖ Θρᾴκην καὶ Τευθρανίαν,
καὶ θυγατέρα Τεύθραντος αἰχμάλωτον λαμβάνει
Τέκμησσαν ἑπτακαίδεκα τῶν χρόνων ὑπηργμένην.
μακρὰν, λεπτοχαράκτηρον, λεπτόρρινα, μελάγχρουν,
εὐόφθαλμον, ἁπλότριχα, μελάντριχα, δριμεῖαν,
εἰς ἡλικίαν εὔστολον, τελείαν καὶ παρθένον.
Καὶ πάντα μέσον τοῦ στρατοῦ παρέθετο καὶ οὗτος.
Ὁ δ' Ἀχιλεὺς, ὡς ἔφημεν, μετὰ τοῦ Παλαμήδους
λεηλατῶν τὰς χώρας μὲν, τὰς πόλεις κατασκάπτων,
οἰκείᾳ ῥώμῃ χρώμενος, βουλαῖς δὲ Παλαμήδους,
εἴκοσι τρεῖς ἐπόρθησε πόλεις συμμάχους Τρώων.
Αἱ πόλεις δ' ἅσπερ Ἀχιλεὺς εἷλε σὺν Παλαμήδει
κατὰ ῥητὸν ὑπάρχουσι τάσδ' ἔχουσαι τὰς κλήσεις·
Λέσβος, Φωκέαι, Κολοφὼν, Κλαζομεναὶ καὶ Σμύρνη,
Κύμη, Τῆνος, Αἰγιαλὸς, αἱ Ἑκατὸν αἱ Πόλεις,
Σίδη καὶ Ἀτραμύτειον, Λίλαιον καὶ Κολώνη,
Ἔνδιον, Κίλλα, Λυρνησσὸς, Τένεδος σὺν Λαρίσσῃ,
Θήβη, Χρύσα, καὶ Πήδασος, Αἰνεὸν τε καὶ Πῖνος.

(878) A B, τὴν λαοδ.

(881) Lemma in C : τίνας χώρας πορθεῖ Αἴας ὁ Τελαμώνιος. Philostratus Heroicis p. 718 : Αἴαντα τὸν Τελαμώνιον ἐκάλουν οἱ Ἀχαιοὶ μέγαν, οὐκ ἀπὸ τοῦ μεγέθους, οὐδ' ἐπειδὴ μείων ὁ ἕτερος, ἀλλ' ἀφ' ὧν ἔπραττε. In C super Τευθρανίαν scriptum τὴν ἀρίσβην, quæ varians est lectio, non glossa. Nam urbes sunt diversæ Teuthrania et Arisbe.

(884) A, λεπτοχαράκτηρα. Cf. n. 702. A B, μελάγχρουν. Infra 953 est varietas μελάθριξ pro μελάνθριξ. Confer. n. 810.

(885) A B, μελότριχα. C. μελαντριχα.

(888) Conf. v. 871.

(890) A, οἰκείως ἄρα χρ.

(891) B sine πόλεις.

(892) A, εἶχε.

(893) A B, ὑπάρχουσαι τ. ἔχουσαι.

(894) B, Κλαζομενίς. A, Κλαζομενή.

(895) αἱ ἑκατὸν αἱ πόλεις] de quo repetito articulo cf n. 342.

(896) A, ἀτραμίτειον. B C, ἀτραμ. Vulgatior est scriptura per δ, et ττ Strabo etiam sine diphthongo, Ἀδραμύττιον.

(897) A, λύρνησος κύλλα. Et alibi A λύρνησος. In C super Λύρνησσος glossa, ἡ νῦν τένανδρος. Conf. n. 858.

Ταύτας κατέσχεν Ἀχιλεὺς πόλεις σὺν Παλαμήδει,
τῷ σοφωτάτῳ Εὐβοεῖ καὶ στρατηγικωτάτῳ,
υἱῷ Ναυπλίου τοῦ σοφοῦ, μητρὸς δὲ τῆς Κλυμένης.
Ἐκ τούτων λάφυρα πολλὰ τοῖς Ἕλλησιν εἰσφέρει·
καὶ αἰχμαλώτους σὺν αὐτοῖς τρεῖς ἤγαγε γυναῖκας,
ἐκ μὲν τῆς Λέσβου Φόρβαντος κόρην τὴν Διομήδην,
ἐκ τῶν Θηβῶν ἑτέραν δὲ, Θηβῶν Ὑποπλακίων,
γυναῖκα Ἠετίωνος Κιλίκων βασιλέως,
κτείνας τὸν Ἠετίωνα καὶ τὸν στρατὸν Κιλίκων,
ἣν ἐξωνήσαντό τινες τῶν συγγενῶν ὑστέρως·
ἐκ Χρύσης Χρυσηίδα τε τὴν Χρύσου θυγατέρα,
κατὰ τὸ πατρωνύμιον ταύτην λαβοῦσαν κλῆσιν·
ταύτης γὰρ ἦν τὸ ὄνομα τὴν κλῆσιν Ἀστυνόμη.
Καὶ ταύτας μὲν εἰς τὸ κοινὸν σὺν τοῖς λοιποῖς λαφύροις,
ὡς οἱ λοιποὶ τῶν στρατηγῶν, παρέθετο καὶ οὗτος.
Τὴν Λυρνησσὸν πορθήσας δὲ, τὴν πόλιν τοῦ Βρισέως,
καὶ κτείνας καὶ τὸν Μύνητα σύζυγον Βρισηίδος,
λαβὼν τὴν Ἱπποδάμειαν, αὐτὴν τὴν Βρισηίδα,
θελχθεὶς αὐτῆς τῷ ἔρωτι, καταφρονεῖ τῶν ὅρκων,
παρασπονδεῖ πρὸς Ἕλληνας, συνθήκας παραβαίνει,
καὶ κρύπτει ταύτην ἔνδοθεν αὐτοῦ τῆς κατοικίας,
χωρὶς βουλῆς τῶν στρατηγῶν, χωρὶς τῶν στρατευμάτων,
λαβὼν δῶρον ἐξαίρετον ὅπερ αὐτὸς ἐπόθει.
Τοῦτο μαθὸν τὸ στράτευμα μεγάλως ἐταράχθη,
καὶ θόρυβος ἐγένετο, καὶ σκέψις περὶ τούτου
ὁποίῳ τρόπῳ τε καὶ πῶς οὗτος αὐτεξουσίως

(900) A, καὶ τῷ στρατ. B C, καὶ στρ. Cf. 871.
(909) Glossa marginalis in C : σχῆμα παρήχησις. A B, τοῦ χρ.
(911) A, ταύτης δέ. B, ἀστρονόμη, et sic v. 946. C, Ἀστυνόμη et v. 946.
(915) Abest ab A. B, μήνυτα. C, μύνητα, quæ forma nominis legitur Il. 2, 692. Cf. v. 950.
(916) B, ὑποδαμείαν.
(922) A C, μαθὼν τό. Sic v. 999.
(924) A, οὗτος.

αὐτὴν ἐξέκρινεν αὐτῷ καταφρονῶν τῶν ὅρκων.
Ἔδοξε πᾶσι τοῦ λοιποῦ μὴ στρατηγεῖν ἐκεῖνον.
Ὁ Ὀδυσσεὺς ἀνῆπτε δὲ μᾶλλον τοὺς λόγους πλέον·
τῷ Παλαμήδει γὰρ ἐχθρὸς ὑπάρχων τῷ πανσόφῳ
τοῖς βασιλεῦσιν ἔλεγε· « Θηρᾷ τὴν βασιλείαν,
« τῷ Παλαμήδει συνεργῷ τοῖς πᾶσι κεχρημένος.
« Πρέπει φονεῦσαι τοιγαροῦν αὐτὸν τὸν Παλαμήδην,
« τὴν κόρην ταύτην δὲ λαβεῖν εἰς τὸ κοινὸν ὡς τἄλλα ».
Ἀλλά σοι πρῶτον φθέγξομαι καὶ τὰς μορφὰς τὰς τούτων
τῶν αἰχμαλώτων γυναικῶν, ὧν εἶπον ἀνωτέρω·
καὶ τότε καὶ τὸν θάνατον ἐρῶ τοῦ Παλαμήδους
καὶ κόρης τὴν ἀφαίρεσιν καὶ μῆνιν Ἀχιλέως,
καὶ πῶς ἑτέρως Ὅμηρος ταύτην τὴν μῆνιν γράφει.

(925) A, αὐτὸς ἐξ. αὐτοῦ καταφρονεῖν, et sic B cum καταφρονῶν. C, αὐτὴν ἐξ. αὐτῷ καταφρονῶν. quod recepi scripto αὐτῷ.

(926) A, στρ. ἑλλήνων.

(927) Duplex comparativus μᾶλλον πλέον redibit et infra, si bene memini. Sophocles Antigona 1188 : ἕρποντι μᾶλλον ἆσσον. Tzetzes in Crameri Anecdotis Oxon. 3, p. 367, scholio non referendo ad Chiliadis sextæ historiæ 38 titulum, ut Cramero videbatur, sed ad Chiliadem 2, v. 282 : τὸν Ἀλφειὸν τὸν ποταμὸν τρέψας πρὸς τὰς ἐπαύλεις. In codice 2644, et Oxoniensibus quibus Cramerus utebatur, a loco suo errore nescio quo semotum est et positum e regione v. 171, Chiliados sextæ. Incipit scholium : Ὦ Τζέτζης [Bene codex 2644, ὦ Τζέτζη], Τὸν Ἀλφειὸν [Cram. et cod. Ἀλφιὸν,] τὸν ποταμὸν τον ἐκ Πελοποννήσου [melius codex, Πελοποννήσου], Πῶς οὐκ ἐμνήσθης πώποτε ἱστορικῶς συγγράψαι, Ὅπερ καὶ μᾶλλον ἔμελλεν ὑπὲρ τῶν ἄλλων [sic Cramerus hemistichio altero breviore; codex plenius : ἔμελλεν πλέον ὑπ.] Ὡς βασιλεὺς τῶν [cod. ὧν] ποταμῶν.... Οὐκ ἤκουσας, οὐκ ἔμαθες τὸ ἄμικτον τὸ τούτου, Τὸ τῆς θαλάσσης ὕδατος ὡς ἁλμυρὸν τῇ φύσει Φυλάττειν [codex, φυλάττων. Fortasse φυλάττει, vel φυλάττον] τὸ γλυκύρροον εἰς Σικελλοὺς χωροῦντα Ἀρεθουσίᾳ τῇ πηγῇ [codex εἰς συκελλοὺς. Cramerus ait esse in A, qui est idem codici 2644, χοροῦνθα. Equidem aio esse χωροῦν τά, et alpha illud finale posse pro ε haberi, liberius ludente calamo. Correxerim igitur : εἰς Σικελοὺς χωροῦν τε. Ignavius Tzetzes sæpissime versus encliticis claudit δε, τε, γαρ] ἠγαπηκὼς, ὡς λέγουσιν· hemistichio longiore. In codice post ὡς quod fuit scriptum periit a bibliopego resectum. Vox fuit omnino bisyllaba et paroxytona,, λόγος puto, φάτις, μῦθος. Fortasse etiam, ἠγαπηκός.

(929) A B, ἔλεγε θηρᾶν. C. θηρᾷ cum glossa : δηλονότι ὁ Ἀχιλεύς. De Palamede statim lector cogitabit, sed obstat sequens versus. Cf. v. 1065.

(930) B, κεχρημένη. C, κεχρημένος. A, συνεργὸς ὑπάρχων τῷ πανσόφῳ, quod male repetitum est ex v. 928.

(932) A, τἄλλα. Vide n. ad v. 247.

(933) A, λέξωμεν. C, λέξαιμεν.

(934) Conf. v. 903.

(937) A, μῆθιν.

Καὶ τότε παρελάσαντες τρίβους πολλοὺς ἀγνώστους
πρὸς τὴν πλατεῖαν ἔλθωμεν Ὁμήρου λεωφόρον,
ἁμαξιτὸν βαδίζοντες τὴν γνώριμον τοῖς πᾶσι.
    Καὶ δὴ τὴν θέαν μάνθανε τῶνδε τῶν αἰχμαλώτων.
    Ἡ Φέρβαντος θυγάτηρ μὲν ὑπῆρχε Διομήδη,
παρθένος εἰκοσάχρονος, καλὴ τὴν ἡλικίαν,
λευκή, γλαυκή, μεσόπαχος, ὑπόσιμος, ξανθόθριξ,
σὺν οἷς στρογγυλοπρόσωπος καὶ τῶν μεγαλοφθάλμων.
    Ἡ Ἀστυνόμη Χρυσηΐς, θυγάτηρ ἡ τοῦ Χρύσου,
χρόνων ἐννεακαίδεκα, παρθένος οὖσα τότε,
κοντή, λεπτή τε καὶ λευκή, ξανθότριχος ὑπῆρχεν,
εὐπρόσωπος, εὐόφθαλμος, μικρόμαστος καὶ εὔριν.
    Ἡ δέ γε Ἱπποδάμεια θυγάτηρ τοῦ Βρισέως,
εἴκοσι χρόνων καὶ ἑνὸς οὖσα τὴν ἡλικίαν,
γυνὴ μὲν ἦν τοῦ Μύνητος Λελέγων βασιλέως,
μακρά, λευκή, καλλίμαστος, οὐλόθριξ καὶ μελάνθριξ,

(938) B, παρέλασαν.

(939) A B, ἔλθομεν. C, ἔλθοιμεν. Scripsi ἔλθωμεν vi futuri. Vide notata ad v. 661.

(940) A, ἁμαξιτήν. B C, ἁμαξιτόν. A B, βαδίζοντες. C, βαδίσαντες Fortasse βαδίσοντες.

(942) B, διομήδους. A C, διομήδη. Cf. v. 904.

(946) B, ἀστρονόμη, omisso ἡ. A C. ἀστυνόμη. Cf. n. 911, 1133. Lemma in C: ἔκφρασις μορφῆς τῆς Χρυσηΐδος, τῆς καὶ Ἀστυνόμης, Χρύσου μὲν θυγατρός, παλλακῆς δὲ Ἀγαμέμνονος.

(948) B, κοντή. A C, κονδή. Cf. n. 804. Ad ξανθότριχος Schol. in C et in Anecd. Oxon. t. 3, p. 378: ἔστι καὶ ἡ ξανθόθριξ καὶ ξανθότριχος, ὡς παρὰ Πινδάρῳ· οὐ μὰν χαλκάρματος οὗτος· εἰ μὴ γὰρ ἦν, εἶπεν ἂν χαλκάρμας καὶ οὐ χαλκάρματος. Post οὗτος est vocula quam Cramerus vel non invenit, vel omisit, quum de sensu, præsertim de lectione dubitaret. Jam n. 426 omisisse videtur vocabulum fere evanidum. Illa vocula negligentissime exarata legenda est omnino Ἄρης, duce etiam ipsa fragmenti sententia. Nam ille Lyrici locus, quo Tzetzes usus, sumtus est e Pythica 4, 87, sed quem memoriter scripserit, substituens nomen Ἄρης Pindaricæ periphrasi πόσις Ἀφροδίτης.

(949) A B, μικρόμματος. C. μικρόμαστος.

(950) C, δέ γε, omisso ἡ, mendum rarum, quum initia non sint rubricata. Lemma in C et in Anecd. Oxon. t. 3, p. 379: ἔκρασις μορφῆς Βρισηΐδος τῆς καὶ Ἱπποδαμείας, θυγατρὸς μὲν Βρισέως, γυναικὸς Μύνητος βασιλέως Λελέγων, ὃν ἀνελὼν Ἀχιλεὺς ἔσχε καὶ ταύτην παλλακήν, παραβὰς τοὺς πρὸς Ἕλληνας ὅρκους. Cramerus ἔσχε ταύτην. Adde n. 1133.

(953) B, οὐρόθριξ. in C super οὐλόθριξ glossa σγουρή. Cf. p. 41.

εὔστολος, καλλιπάρῃος, φιλόγελως καὶ εὔριν,
κεχλοϊσμενοβλέφαρος, ὀφρῦς συνδεδεμένη,
ἣν ἀποκρύψας Ἀχιλεύς, ὡς ἔφην ἀνωτέρω,
ἐποίησε τὸ στράτευμα μεγάλως ταραχθῆναι,
καὶ παραστεῖλαι καὶ αὐτὸν μὴ στρατηγεῖν Ἑλλήνων,
ὡς ἄπιστον, ὡς ἄσπονδον, ὡς ὅρκων παραβάτην,
καὶ Παλαμήδην τὸν σοφὸν ὡς δι' αὐτὸν φονεῦσαι.
Ὁ Ὀδυσσεὺς γάρ, ὢν ἐχθρὸς ἄσπονδος Παλαμήδει,
τῷ λέγειν τοῦτον αἴτιον εἶναι κακῶν ἁπάντων
τοὺς βασιλεῖς ὡς πρὸς θυμὸν ἀμέτρητον κινήσας,
ἔπεισεν ἄνδρα ποταπὸν ἀποθανεῖν ἀδίκως.
Καὶ γὰρ ἐρίζων πρὸς αὐτὸν σοφαῖς μηχανουργίαις,
σκότος ὑπῆρχεν ὡς πρὸς φῶς, νόσος ὡς πρὸς ὑγείαν,
πρὸς Ἰνδικὸν ὀσφράδιον κόπρος δυσωδεστάτη.
Ὁ Παλαμήδης γὰρ αὐτός, ἡ πάνσοφος καρδία,
πραΰς ὢν καὶ εὐόμιλος, καὶ ταπεινὸς τοῖς πᾶσι,
πάντας φιλῶν ὡς ἑαυτόν, τοῖς πᾶσιν ἐπεθεῖτο,
καὶ ἐτιμᾶτο σύμπασι κατὰ πολλοὺς τοὺς τρόπους,
ὡς εὐγενής, ὡς στρατηγός, ὡς ἰατρός, ὡς μάντις,

(954) Epithetum φιλόγελως aperiet mihi viam ad digressionem de opusculo Hieroclis et Philagrii nuper a me edito cum lemmate Φιλόγελως. Ibi p. 269 monui Philistionem comicum libello cuidam suo idem (male typotheta « eidem ») nomen præscripsisse. Tunc Tzetzæ non memini, qui Philistionis vel Hieroclis Φιλόγελων legebat meis codicibus ampliorem, et inde historiolam hanc excerpsit Chiliadum libro octavo 978 : Γέγραφέ που Φιλόγελως τῷ ἑαυτοῦ βιβλίῳ· Ἄρρωστον ἐπισκέψασθαι παρέβαλέ τις φίλος· Ὡς οὖν οὐκ ἐξανίστατο καὶ ὑπεχώρει ῥᾷστα, Ἀγανακτήσας ὁ νοσῶν ἀνίστατο τῆς κλίνης, Κἀκείνῳ « Ἔῤῥωσο » εἰπὼν ἀπῆλθε τῆς οἰκίας. Qui post me ad istas Facetias recudendas accedent, Tzetzæ locum ne negligant.

(955) Sic B C, κεχλοϊσμενοβλέφαρος. A, κεχλοϊσμένη βλέφαρον. A nomine χλόη formatum fuerit verbum χλοΐζω, quod vix placere potest. Malim, usus frequentissima illa litterarum λρ permutatione, legere κεχροϊσμενοβλέφαρος, « palpebris suave coloratis. » Fortasse, κεκλεισμενοβλέφαρος.

(956) Ἔφην scilicet v. 919. Scholium in C : δι' ἣν αἰτίαν ἐπαύθη Ἀχιλεὺς τοῦ στρατηγεῖν καὶ πολεμεῖν (invertenda verba, τοῦ πολ., κ. στρατ.) Ἑλλήνων, ὡς ἔχει τὸ ἀληθές.

(958) B, παραστῆναι.

(960) A, παλαμήδους.

(964) A B C, ποδαπόν. Cf. v. 186.

(972) Schol. in C : Ἀερόπη γὰρ ἡ

ὡς μηχανὰς δυνάμενος ποιεῖν πορθητηρίους,
ὡς ἐφευρὼν τὰ γράμματα, τὰς ψήφους, τὸ ταβλίζειν,
τὸ παρατάσσειν τὸν στρατὸν ἐν συμβολαῖς πολέμου,
ἁπλῶς εἰπεῖν, ὡς εὑρετὴς βιωφελῶν παντοίων.
Καὶ γὰρ τὸ πρὶν ἐκπλέουσι τοῖς Ἕλλησιν εἰς Τροίαν,
σημεῖα κατεφαίνετο καὶ τέρατα φρικώδη,
ὑπερφυεῖς μὲν ἀστραπαὶ, βρονταὶ τῶν βαρυκτύπων,
λείψεις ἡλιοσέληνοι, ὄμβροι βροχῆς αἱμάτων,
ἄλλα μυρία τέρατα τῶν φοβερῶν τὴν θέαν·
τοῦ δὲ στρατοῦ τοῦ σύμπαντος μεγάλως πτοουμένου;
πρῶτος αὐτοὺς ἐρρύσατο τοῦ φόβου Παλαμήδης,
« Ὦ ἄνδρες Ἕλληνες, » εἰπὼν, « ταῦτα τῶν Τρώων βλάβη·
« πάντα γὰρ πρὸς ἀνατολὰς ἐφάνη τὰ σημεῖα ».
Εἶπε καὶ Κάλχας ἀληθῆ λέγειν τὸν Παλαμήδην.
Πρῶτον πρὸς Ἕλληνας αὐτὸ τοῦ Παλαμήδους ἔργον.
Δεύτερον ἀποπλεύσασιν αὐτοῖς ὡς πρὸς τὴν Τροίαν,
καὶ λυπουμένοις ἄμετρα τῷ πόθῳ τῆς πατρίδος,
ἐφεύρηκε τὰ γράμματα, σὺν τούτοις τὸ ταβλίζειν.
Καὶ γράμμασιν ἐχρῶντο μὲν γράφοντες τοῖς οἰκείοις,
ταβλίζοντες δ' ἐλάμβανον παραψυχὴν ὀλίγην
τῆς λύπης τε καὶ τοῦ λιμοῦ τοῦ τότε γενομένου·
τροφὰς γὰρ μόλις εὕρισκον ὄντες ἐν ξένῃ χώρᾳ·

τῶν βασιλέων μήτηρ Ἀγαμέμνονος καὶ Μενελάου, καὶ ἡ τοῦ Παλαμήδους μήτηρ Κλυμένη ἀδελφαὶ ἦσαν, θυγατέρες οὖσαι Κατρέως τοῦ Κρητῶν βασιλέως. Cf. n. ad v. 355.

(974) AB, τοὺς ψ. ABC, ταυβλίζειν, et sic 990, 992. Cf. n. ad Z, 24.

(977) B, τοπρίν. Sic et alibi variatur inter τὸ λοιπὸν, τὸ πρῶτον, τὰ νῦν, et τολοιπὸν τοπρῶτον, τανῦν, aliaque similia. In C plerumque vocabula separantur. Res est parvi quidem momenti, sed Tzetzes significavit diserte quo talia scriberet ipse modo. Ad Chiliados 2 v. 307, Πρὸς Εὐρυσθέα τὸ λοιπὸν ἐκόμισε τοὺς ἵππους, hoc apposuit scholium, receptum in Anecdota Oxon, t. 3, p. 354: τολοιπὸν οἱ νῦν σοφοὶ ὡς καὶ τὰ ὅμοια τούτῳ οὐ βαρύνουσι (cod. 2644 videtur ferre βαρύνουσιν)· ἐγὼ δὲ οὐδέποτε ἐξευρὼν τὸ τολοιπὸν, τοῦ τολοιποῦ, τὸ λοιπὸν βαρύνω καὶ τὰ ὅμοια τούτῳ.

(978) AB, κατεφαίνοντο.

(983) AB, αὐτός.

(986) C, παλαμήδη. Sic C, 1077, 1109, 1134; et supra 931, 960.....

(993) AB, λοιμοῦ.

(994) B, εἰς ξένην χώραν.

ὅθεν ὁ πόθος ηὔξανε πάντων πρὸς Παλαμήδην,
ὁ φθόνος δ' ἀνετάρασσε τὸν Ὀδυσσέα πλέον.
Ἐπεὶ δὲ καὶ κατήρξαντο πορθεῖν τὰς περιχώρους,
ἀνθ' ὧν ὁ Κύκνος πόλεμον τοῖς Ἕλλησι συνῆψεν,
ἅπαν ἐλθὸν τὸ στράτευμα πρῶτον κατὰ Μυσίαν
συνῆψε πόλεμον βαρὺν ἐν ποταμῷ Καΐκῳ,
οὗπερ καὶ φόνος πάμπολυς Μυσῶν τε καὶ Ἑλλήνων.
Πολλοὶ γὰρ ἔπεσον ἐκεῖ γενναῖοι στρατηλάται,
καὶ σὺν αὐτοῖς ὁ Θέρσανδρος υἱὸς τοῦ Πολυνείκους,
τῆς θυγατρὸς ὑπάρχων παῖς Ἀδράστου βασιλέως·
οὗ καὶ τροπὴ καθολικὴ γέγονεν ἂν Ἑλλήνων,
εἰ μὴ τὸν Τήλεφον αὐτὸν Μυσῶν τὸν βασιλέα,
τοῦ Ἡρακλέος τὸν υἱὸν καὶ Αὔγης τῆς Ἀλέου,
ὁ Ἀχιλεὺς εἰς τὸν μηρὸν ἔτρωσε δορατίσας·
εἰ μὴ Νιρεὺς ἀπέκτεινε τὴν σύζυγον Τηλέφου,
τὴν καλουμένην Ἱερὰν ἅρματι μαχομένην,
ἥτις τοσοῦτον καλλοναῖς ἐνίκα τὴν Ἑλένην,
ὅσον ἐκείνη τὰς λοιπὰς γυναῖκας ἐξενίκα.
Εἰ μὴ Νιρεὺς καὶ Ἀχιλεὺς ἠρίστευσαν, ὡς εἶπον,
οὐδὲν ἦν τότε κώλυμα τοὺς Ἕλληνας φθαρῆναι.
Ἕλωρος καὶ Ἀκταῖος γὰρ οἱ παῖδες οἱ τοῦ Ἴστρου,

(999) A B C, ἐλθών. In B o superscripto. Conf. n. 922.

(1000) A B, καΐκῳ. Schol. in C et in Anecd. Oxon. t. 3, p. 379 : μέμνηται τούτου Πίνδαρος οὕτω γράφων [I. 5, 51]· τίς γὰρ ἐσλὸν Τήλεφον τρῶσε δορὶ Καΐκου παρ' ὄχθαις. Cod. ἐσλῶν T. τρῶσαι δωρί. Cf. Tzetz. ad Lyc. 206.

(1001) A B, φόβος, C, φθόνος, quod mutavi leviter scripto φόνος; qua de permutatione monui ad Eunap. p. 586. Libanius t. 1, p. 525 : πρὸς ἄλλοις μᾶλλον ἢ λόγοις, νομίζων ἧττόν γε ταύτῃ πειράσεσθαι τοῦ φθόνου. In cod. 963 errore calami, φόνου.

(1003) Sch. in C, et Anecdotis Oxon. t. 3, p. 379 : ὑπ' (ex correctione Crameri pro ὑπ') αὐτοῦ Τηλέφου Θέρσανδρος ἀνῃρέθη.

(1005) B, οἷς.

(1007) Apollodorus Bibl. 2, 7, 4 : Αὔγην Ἀλεοῦ θυγατέρα. Manifestum, ex sede nominis Ἀλέου, in versu Tzetzæ vitiosam esse scripturam Ἀλεοῦ. Rectius Ἄλεον Ἀλέου Apollodorus 3, 9, 1. Apud alios scriptores nomen Ἀλεὸς erit corrigendum.

(1008) A, δορακτίσας.

(1010) Interfectam a Nireo Hieram de curru dimicantem narrat Tzetzes et Antehomericis 278, ubi Jacobsii notæ.

(1015) A B, Ἔλλωρος. C, ἕλωρος, et

καὶ Αἷμος ὁ τοῦ Ἄρεως Τηλέφῳ συνεμάχουν·
καὶ αἱ γυναῖκες τῶν Μυσῶν ἐπὶ δρεπανηφόρων
ἁρμάτων ἐφιστάμεναι τὴν μάχην συνεκρότουν,
σὺν τῇ δεσποίνῃ τῇ αὐτῶν πρὸ πάντων προτρεχούσῃ,
ἣν ἀποσφάξας ὁ Νιρεὺς κατέλυσε τὴν μάχην.
Εὐθὺς γὰρ θρῆνος καὶ βοὴ Μυσῶν τε καὶ Ἑλλήνων,
ὡς εἶδον κάλλος ἄρρητον ἐκθερισθὲν ἀθρόως·
καὶ λύουσι τὸν πόλεμον σπεισάμενοι Τηλέφῳ,
σὺν τούτῳ κλαύσαντες πικρῶς τὴν συμφορὰν ἐκείνην.
Ὡς δὲ μετὰ τὸν πόλεμον τοῦτον τὸν τοῦ Τηλέφου,
μόλις νικήσαντες Μυσοὺς, ὡς εἶπον ἀνωτέρω,
πρὸς τὸ στρατόπεδον αὐτῶν οἱ Ἕλληνες κατῆλθον,
λύκοι ποθὲν ἐρχόμενοι πρὸς τὰς σκηνὰς Ἑλλήνων,
ἐκ μέσου πάντων ἥρπαζον ἀνθρώπους τε καὶ κτήνη·
ὁ Ὀδυσσεὺς ἐρίζων δὲ τάχα τῷ Παλαμήδει
καὶ θέλων ὄφελος ποιεῖν, ὡς ὁ σοφὸς ἐκεῖνος,
λαβὼν τοξότας περισσοὺς, ἐχώρει πρὸς τὰ ὄρη
ὡς ἂν τοξεύων φθείρειε τὸ γένος τὸ τῶν λύκων.
Ὁ Παλαμήδης δὲ σοφὸς ἐν ἅπασιν ὑπάρχων,
καὶ τὴν τοσαύτην πρὸς αὐτοὺς λύκων ἀναισχυντίαν
σημεῖον εἶναι λοιμικῆς καλῶς ὑπονοήσας,
γελῶν ἐλάλει πρὸς αὐτὸν τότε τὸν Ὀδυσσέα·

sic Tzetzes Antehom. 273, et Philostratus. Vide Jacobs. et Thesaurum Gr.

(1017) Schol. in C: σημείωσαι ὅτι ἐπὶ δρεπανοφόρων ἑστῶσαι ἁρμάτων ἐμάχοντο αἱ τῶν Μυσῶν γυναῖκες, καὶ ἡ βασίλισσα αὐτῶν (est dittographia αὐτή) ἡ Ἱερά. Cf. Tzetzes Chil. 12, Hist. 454.

(1022) C, ἀθρόως AB, ἀθρόον.

(1024) A, ἐκείνην. B C, ἐκείνου.

(1026) Conf. v. 1005.

(1027) A B C, τὰς σκηνὰς τὰς ἑαυτῶν. Superscriptum in C: τὸ στρατόπεδον αὐτῶν, quod prætuli, id habens pro variante, propter sequens σκηνάς.

(1032) A B, πρὸς ἐκείνους.

(1036) Λοιμικῆς, ellipsi nominis νόσου, et sic 1137, 1140, 1193. Mox λοιμικὴν νόσον v. 1048.

(1037) B, ἐκάλει. Permutata sæpe verba λαλεῖν, καλεῖν. Videsis meam notulam ad Moschum, Id. 3, 118, edit. sec., ubi recepi καλέοντι pro λαλέοντι. In Andromacha 919 variant λαλημάτων, καλημάτων; in Andreopuli Syntipa p. 124 καλήσας, λαλήσας. Syntaxi λαλεῖν πρός usus est Chariton 3, 8: ἐθέλησε πρὸς τὴν Ἀφροδίτην λαλῆσαι.

« Τί μετὰ τόξων, Ὀδυσσεῦ, σφάττειν τοὺς λύκους σπεύδεις;
» οὐκ εἰς τὸν ἅπαντα καιρὸν ἐν ὄρεσιν οἱ λύκοι;
» εἶδες δ' οὕτως ἀναίσχυντα τρέχοντας εἰς ἀνθρώπους;
» τί ματαιάζεις, ἄνθρωπε, μετὰ τῶν τοξοτῶν σου;
» νόσημα μέγα λοιμικὸν ἄρτι γενέσθαι μέλλει.
» Ἂν καταλείψῃς τοιγαροῦν τόξα καὶ τοὺς τοξότας,
» ἂν παρεάσῃς καὶ αὐτὴν νῦν τῶν κρεῶν τὴν βρῶσιν,
» καὶ τρώγειν ἄρξῃ λάχανα, πεισθεὶς ἐμοῦ τοῖς λόγοις,
» φλεβοτομίαις χρήσῃ δὲ καὶ πλέεις ἐν θαλάσσῃ,
» φανήσῃ φρενιμώτερος, καὶ λύκους ἀναιρήσεις,
» τὴν λοιμικὴν τὴν μέλλουσαν ἄρτι γενέσθαι νόσον ».
Οὕτως εἰπόντος τοῦ ἀνδρὸς, πάντες ἐποίουν οὕτως,
καὶ, πανταχοῦ μετὰ μικρὸν τῆς νόσου γενομένης,
ἄνοσον πᾶν τὸ στράτευμα διέβη τῶν Ἑλλήνων,
καὶ ὡς θεὸν οἱ σύμπαντες εἶχον τὸν Παλαμήδην.
Ὁ Ὀδυσσεὺς δὲ, τὸν θυμὸν αὔξων καὶ τὴν κακίαν,
ἀεὶ τὸν θάνατον αὐτοῦ παντοίως ἐμελέτα,
καὶ δὴ καὶ κατεσκεύασεν αὐτὸν ἀναιρεθῆναι.
Ὡς γὰρ μετὰ τὸν πόλεμον τὸν πρῶτον τῆς Μυσίας
σὺν Ἀχιλεῖ τὸ δεύτερον ἐπέρθει τὰ τῶν Τρώων
ὁ Παλαμήδης ὁ σοφὸς, ὁ στρατηγὸς, ὁ μέγας,
καὶ πόλεις ἐξεπόρθησαν εἰκοσιτρεῖς, ὡς εἶπον,
σκυλμὸς δὲ γέγονε πολὺς διὰ τὸν Ἀχιλέα
ὅτι τὴν κόρην ἔλαβε δίχα βουλῆς ἁπάντων,
ὁ δολερὸς, ὡς ἐφευρὼν ὅνπερ καιρὸν ἐπόθει,
τοὺς βασιλεῖς ἐκίνησεν εἰς φόνον Παλαμήδους,

(1038) A B C, θέλεις, superscripto in C σπεύδεις.
(1042) A B, θέλει. C, μέλλει.
(1043) A, καταλείψεις. B, τόξας.
(1046) A B, πλέειν.
(1048) Fort. λοιμικήν τε μ.
(1059) Conf. v. 886.
(1060) A, prius σκυλμὸς, et e correctione σικυχμός. Voluitne scribere corrector συγχυσμός?
(1062) In C supra ὁ δολερὸς glossa ὁ Ὀδυσσεύς. Cf. v. 1072.

θανάτου τοῦτον ἄξιον τὸν ἄνθρωπον δεικνύων·
σὺν Ἀχιλεῖ γὰρ ἔλεγε θηρᾶν τὴν βασιλείαν.
Ὡς δ' εἶπον τότε πρὸς αὐτὸν οἱ βασιλεῖς Ἑλλήνων,
« Καὶ πῶς εὐκόλως γένοιτο φονεῦσαι Παλαμήδην,
» τὸν Ἀχιλέα συνεργὸν καὶ φίλον κεκτημένον,
» τοὺς ἀμφοτέρους Αἴαντας, τὸν Νέστορα τὸν μέγαν,
» τὸν Ἀθηναίων στρατηγὸν σὺν τούτοις Μενεσθέα,
» τοῖς ἅπασι ποθούμενον Ἑλλήνων στρατηλάταις »;
οὕτως ὁ δόλιος ἀνὴρ ὡς πρὸς αὐτοὺς εἰρήκει·
« Ἐγὼ φροντίσω μηχαναῖς αἷσπερ αὐτὸν αἱρήσω ».
Καὶ δή τινα κρατήσαντες ἄνθρωπον ἐκ τῶν Τρώων
τῷ Σαρπηδόνι χρήματα κομίζοντα πρὸς Τροίαν,
πείθουσι γράψαι Τρωϊκὰ γράμματα πρὸς χαρτίον
ὡς ἐκ Πριάμου πρὸς αὐτὸν τάχα τὸν Παλαμήδην,
καὶ τὸν μὲν ἄνθρωπον αὐτὸν ἀπέσφαξαν εὐθέως,
ὀμόσαντες ἐλεύθερον, ἂν γράψῃ, καταλείψειν,
τὰ χρήματα δ' ἀφείλοντο καὶ χάρτην τὸν γραφέντα·
καὶ τὸν μὲν χάρτην πρός τινα δοῦλον τοῦ Παλαμήδους,
ἐν τῷ στρατῷ φυλάσσοντα σκηνὰς τοῦ Παλαμήδους,
ἐκείνου διατρίβοντος ἔτι περὶ τὴν Λέσβον,
δεδώκασι, καὶ χρήματα βραχύτατα, εἰπόντες·
» Ἂν θήσεις τοῦτον εἰς αὐτὴν τὴν κλίνην Παλαμήδους,
» ἄλλα σοι δῶρα δώσομεν πλείονα τῶν δοθέντων ».
Τὰ δ' ἄλλα πάντα χρήματα λαμβάνουσιν ἐκεῖνοι.

(1065) Conf. v. 929.
(1072) A, οὕτως. B C, οὗτος.
(1073) In C super αἷσπερ scriptum οἷαις. Pro μηχαναῖς fortasse μηχανὰς vel μηχανῶν.
(1080) A, ἀφείλαντο, B C, ἀφείλοντο. Electio est anceps. Duo codices plus uno valuerunt. De forma ἀφειλάμην dixi ad Babrium Fab. 105.
(1082) Abest a B C, φυλάττοντα.
(1083) Schol. in C : ἀκμὴν γὰρ οὔπω τελείως αἱ εἴκοσι τρεῖς ἐπορθήθησαν πόλεις· ἀλλ' ἔτι περὶ τὴν τούτων διέτριβον πόρθησιν.
(1085) Noluit Tzetzes scribere aoristum illegitimum θήσῃς, et non timuit solœcismum ἂν θήσεις, pro εἰ θήσεις. In C videtur esse τὴν κόρυν.

Καὶ δοῦλος μὲν ὁ δόλιος οὗτος τοῦ Παλαμήδους
ἐπὶ τὴν κλίνην ἔθετο τοῦ δόλου τὸ χαρτίον·
αὐτοὶ δὲ συντομώτατα πέμπουσι πρὸς τὴν Λέσβον,
κατὰ μὲν τὸ φαινόμενον καὶ τὸ δοκοῦν τοῖς πᾶσιν
ἐπὶ ποιήσει μηχανῶν καλοῦντες Παλαμήδην,
κατὰ δὲ τὴν ἀλήθειαν χωρίζοντες τῶν φίλων
ὅπως ἂν ἀβοήθητον φονεύσωσιν ἐκεῖνον.
Οὕτως ἐχώρισαν αὐτὸν ἐξ Ἀχιλέως τότε.
Ὡς δ' ἦλθε πρὸς τὸ στράτευμα καὶ πρὸς τὴν γερουσίαν,
τάξει καὶ κοσμιότητι λέγει τοῖς βασιλεῦσιν·
« Ὦ στρατηγοὶ καὶ βασιλεῖς, τί μηχανὰς ζητεῖτε;
« ἔχετε ζῶσας μηχανὰς τοὺς Αἴαντας τοὺς δύο,
« εἴπερ πορθεῖν ἐπίστανται πόλεις τῶν πολεμίων.
« Εἰ δέ γε χρείαν ἔχετε καὶ μηχανῶν ἀψύχων,
« ἅσπερ αἱ χεῖρες αἱ ἐμαὶ δημιουργοῦσι τέχναις,
« ἕτοιμον ἔχετε πεσεῖν ὡς πρὸς τὴν γῆν τὴν Τροίαν ».
Τοιαῦτα μὲν ὁ πάνσοφος εἶπεν ἀνὴρ ἐκεῖνος·
τοῦ φθόνου καὶ τοῦ φόνου δὲ τὸ ὄργανον τὸ μέγα
λόγον ἐκ λόγου συγκινῶν εἰς ὕβρεις ἐξετράπη,
καὶ τοῦ στρατεύματος αὐτὸν προδότην ἀπεκάλει.
Ὡς δ' ἐκ τῆς κλίνης ἤγαγε καὶ τὸν πλαστὸν τὸν χάρτην
λίθοις ὡς κύνα τὸν σοφὸν ἀνεῖλον Παλαμήδην,
Ζακύνθιοι λιθάζοντες μόνοι καὶ Μυκηναῖοι,

(1088) B, μὲν οὖν δόλ.

(1092) A B, ἄγοντες.

(1105) B, τοῦ φόν. κ. τ. φθ. In C ad ὄργανον glossa, ὁ Ὀδυσσεύς.

(1108) A, ἤγαγε. B C, ἤγαγον, superscripto in C ἔφερον, varietate parvi pretii, vel glossa inutili. Verba enim ἄγειν et φέρειν sæpe adhibentur cum quadam improprietate, usu id tolerante. Dicunt φέρειν ἅρμα, φέρειν ἵππον, ἄγειν ὕδωρ, ac similia. Choricius p. 98 : ὕδωρ αὐτῷ τὸν οἰκέτην ἄγειν κελεύσας, ἐναπονίζει τὼ χεῖρε. Euripides Helena 1179 : ἐκκομίζεθ' ἅρματα. Planudes Metam. p. 294 : λαιῷ δύο τὴν ἡλικίαν ἥττους μείζων αὐτὸς φέρων, scilicet ἄγων, « habens, tenens. » Περδικάρης Ἑρμήλω p. 5 : τὸν φέρω εἰς τὸν οἶκον, scilicet ὄνον. Et Angli non aliter. Hookius : « Then bring the horses immediately, said « miss Jilks, and by the time Tim brought « them... »

τοῦτο μόνον τὸ λόγιον κτεινόμενον εἰπόντα·
« Χαῖρε, ἀλήθεια κλεινή· προετεθνήκεις γάρ μου ».
Οὕτως ἀδίκως τοῦ σοφοῦ θανόντος Παλαμήδους,
ἅπας Ἑλλήνων ὁ στρατὸς ἐδάκρυε κρυφίως
τοῦ βασιλέως τὴν ὀργὴν πτοούμενος μεγάλως.
Οὐ παρεχώρει θάπτειν γάρ, ἀλλ' οὐδὲ κλαίειν τοῦτον,
κηρύξας τὸν τολμήσαντα θάψαι τὸν Παλαμήδην
γενέσθαι νέκυν ἄθαπτον καὶ βρῶμα τῶν θηρίων.
Αἴας δ' ὁ μέγας, ἐκμαθὼν τὴν συμφορὰν ἐκείνην,
λεοντικὸν καὶ βρύχιον στενάξας ἐκ καρδίας,
ὁρμᾷ πρὸς τοὺς λιθάζοντας ἔνοπλος, ξιφηφόρος,
καὶ τούτους μὲν ἐσκόρπισεν, ἅπαντας ἐκπτοήσας,
αὐτὸς δὲ κόμην ἀνασπῶν σύρριζον τὴν ἰδίαν
καὶ γενειάδος τρίχωσιν, τὸ πρόσωπον ἐκξέων,
πίπτει πρὸς γῆν εἰς τὸν νεκρὸν, περιβαλὼν ἐκεῖνον·
καὶ κατηφῆ τὸν ἥλιον τοῖς δάκρυσι ποιήσας,
πηλοποιήσας καὶ τὴν γῆν ἐκ τῶν πολλῶν δακρύων,
ἀναλαβόμενος αὐτὸν, κοσμεῖ τοῖς ἐνταφίοις,
καὶ θάπτει πρὸς Λεπέτυμνον ὄρος τὸ τῆς Μηθύμνης.
Οἵας δ' ἐφεῦρον συμφορὰς Ἕλληνες ἐκ Ναυπλίου,
ὃς Παλαμήδους ἦν πατήρ, μακρὸν δοκεῖ μοι γράφειν.
Ὁ δ' Ἀχιλεὺς, ὡς ἔμαθε τὸν φόνον Παλαμήδους
διὰ τὴν Ἱπποδάμειαν Βρισέως θυγατέρα,
τὸν Παλαμήδην μὲν αὐτὸς περιπαθῶς ἐθρήνει,
τὴν κόρην δὲ τοῖς Ἕλλησιν ἀπέπεμψεν εὐθέως,
καὶ ὀργισθεὶς ἐπαύσατο συμπολεμεῖν ἐκείνοις.

(1115) A B, πτοούμενοι. C, πτοούμενος. Recepissem participium plurale, si modo ἐδάκρυον pro ἐδάκρυε repperissem.

(1116) C, κλάειν.

(1121) A B C, χώρει. C, καὶ ὁρμᾷ.

(1122) A B, διαφθείρας. C, διασπείρας, superscripto ἐκπτοήσας.

(1125) A, περιλαβών. Conf. n. 397.

(1133) Schol. in C : πατρωνυμικῶς Βρισηὶς ἐκαλεῖτο, κυρίως δὲ Ἱπποδάμεια, ὡς καὶ ἡ Χρυσηὶς Ἀστυνόμη.

Καὶ λοιμικὴ δὲ γέγονεν εἰς τὸν στρατὸν Ἑλλήνων·
ὁ Παλαμήδης γὰρ οὐκ ἦν προλέγειν θεραπείας.
Ἄλλοι μετὰ τὸν θάνατον φασὶ τοῦ Παλαμήδους·
εἰς τὸ κοινὸν οἱ Ἕλληνες ἔλαβον καὶ τὴν κόρην,
τοῦ Ἀχιλλέως ἄκοντος, οὐ θελουσίᾳ γνώμῃ,
καὶ τοῦτον εἶναι στρατηγὸν ἀπέπαυσαν Ἑλλήνων,
ὅθεν ὠργίζετο σφοδρῶς τοῖς Ἕλλησιν ὁ ἥρως.
Ὡς ἔμαθον οἱ Τρῶες δὲ τὴν μῆνιν Ἀχιλλέως
καὶ λοιμικὴν δαμάζουσαν τοὺς Ἕλληνας ἀμέτρως,
θαρρήσαντες ἀνέῳξαν τὰς πύλας τὰς τῆς Τροίας,
καὶ πολεμεῖν ἀπήρξαντο τοὺς Ἕλληνας γενναίως.
Ὁ δ' Ὅμηρος δεινότατος ὑπάρχων λογογράφος
τὰ μέχρι τούτων σύμπαντα πανσόφως παρατρέχει,
καὶ Παλαμήδην οὐδαμῶς ἔγραψε τῇ ποιήσει,
ἵνα τὸν Ἀχιλέα μὲν ἐπίορκον μὴ δείξῃ,
τὸ κράτιστον κεφάλαιον αὐτοῦ τῶν ἐγκωμίων,
διὰ γυναῖκα ποταπὴν τοὺς ὅρκους παραβάντα·
καὶ πάντας δὲ τοὺς ἥρωας, μᾶλλον τὸν Ὀδυσσέα,
ὅπως μὴ δείξῃ μυσαροὺς ἀνθρώπους, ἀνοσίους,
ἄνδρα τοιοῦτον κτείναντας, ἰσόθεον τοῖς τρόποις.
Ὅθεν οὐδὲ τὴν πόρθησιν τῆς Τροίας ἀφηγεῖται,
σιγᾷ δὲ μέχρι τῆς σφαγῆς Ἕκτορος ῥαψῳδήσας.
Τὴν πόρθησιν τῆς Τροίας δὲ παρέδραμε πανσόφως·
πρὸ γὰρ αὐτῆς ὁ Ἀχιλεὺς γυναικωδῶς ἐσφάγη.
Οὕτω πανσόφως καὶ δεινῶς ῥητορικῷ τῷ τρόπῳ
πρὸς μὲν τὸ τέλος εἴασε τὴν πόρθησιν τῆς Τροίας,

(1141) B, ἐθελουσίᾳ.
(1147) A B C, τοὺς Ἕλληνας, superscripto in C, τοῖς Ἕλλησιν. Utraque syntaxis usitata est.
(1149) A B, τούτων. C, τούτου superscripto τούτων.
(1152) A C, τῶν ἐγκωμίων, superscripto in C, τῆς ῥαψῳδίας. B, τοῦ ἐγκωμίου.
(1153) A B C, ποδαπήν. C, in margine C: αἰχμάλωτον τάχα. Conferatur v. 964.

ἐκ τῆς ἀρχῆς δὲ μέχρι νῦν τοῦ χρόνου τοῦ δεκάτου
τὰ πάντα παρετρόχασε δεινὸς ὢν λογογράφος,
ἄρχεται δ' ἐκ τῆς μήνιδος δεινότητος μεθόδῳ,
γράφων αὐτὴν ὡς βούλεται, καὶ γράφει γεγονέναι
διὰ γυναῖκας καὶ αὐτὸς λέγων αὐτὴν γενέσθαι,
τὴν Βρισηίδα τε ἐμοῦ λέγων καὶ Χρυσηίδα,
τὰς ὥσπερ εἶπον καὶ αὐτὸς γυναῖκας ἀνωτέρω.
Πλὴν παρεκκλίνει τὸν εἱρμὸν πρὸς τὸ αὐτῷ συμφέρον.
Λέγων γὰρ ταύτας ἐκ Θηβῶν εἶναι δοριαλώτους
καὶ δι' αὐτὰς καὶ τὴν ὀργὴν γενέσθαι Ἀχιλέως,
ὥσπερ καὶ πᾶς ἱστορικὸς συγγράφων περὶ τούτων,
οὐχ ὥσπερ εἶπόν μοί τινες ἐκ τῶν συγγραψαμένων,
λέγει καὶ οὗτος τὴν ὀργὴν διὰ τὴν Βρισηίδα,
μᾶλλον τῇ Χρυσηίδι δὲ προσάπτει τὴν αἰτίαν.
Ἀνερωτῶν τὴν Μοῦσαν γάρ, τὴν γνῶσιν τὴν οἰκείαν,
δι' ἣν αἰτίαν γέγονεν ἡ μῆνις Ἀχιλέως,

(1163) B, ἐκ τῆς ἄχρι.
(1164) A B, παρετρόχωσε.
(1165) B, δεινότατος.
(1166-69) Quatuor hi versus sunt pessime tornati, repetitis vocabulis horridi. Varietates λέγω ex B C v. 1167, αὐτὰς ex C, ἀνωτέρως ex B v. 1169 nil præbent auxilii.
(1170) B, παρακλίνει. A, παρεκλίνει. C, παρεκκλίνει. B C, συμφ. τούτῳ. A, αὐτῷ συμφ. Schol. in C: πῶς Ὅμηρος ὁμολογῶν τὴν μῆνιν διὰ γυναῖκας τὰς αὐτὰς γενέσθαι, ὥσπερ πάντες φασί, μετατρέπει πρὸς τὸ συμφέρον αὐτῷ τὸν λόγον.
(1171) A B C, δορυαλώτους, quod mutavi, natum ex pronunciatione. Nuper didici virum eximium illam scripturam defendere « conatum fuisse », quibus argumentis non didici. Sequor judicium criticorum diligentissimorum, Schweighæuseri ad Appian. p. 159; qui dativum in composito adjectivo tuetur analogia Appianicorum exemplorum, δορὶ λαβών, δορὶ ἑλόμεν, quibus addo Thucydidea 1, 128, δορὶ ἑλών, 4, 98, δορὶ ἐκτήσαντο; Lobeckii, qui, ad Ajacem 210, edit. prioris, rationem ait dictitare scribendum ρι, citatque Wesselingium, « affirmantem » ad Diodorum 12, 83, 16, 20, syllabam ρυ « optimorum librorum consensu semper præhaberi, » quum Wesselingius, discordiam librorum significare contentus, ipse ρι elegerit; Krabingeri ad Synesii Calvitiem p. 239; Bekkeri ad Procopiana Anecdota p. 23, 34, 78. Diligentiæ tantum causa post doctissimos illos viros meas indicabo notas ad Choricium p. 224, 346.
(1173) A, συγγράφει.
(1174) B, εἴπομεν ἡμεῖς ἐκ τῶν συγγεγραμμένων. C, συγγραψαμένων. A, quod dedi.
(1175) C, οὗτος e correctione pro οὕτω.
(1177) Homerus enim: Μῆνιν ἄειδε, Θεά. Cf. mox liber A, 4.
(1178) B, δι' ἣν αὕτη γέγ., hemistichio breviore.

καὶ συμφορὰς ἐπήγαγε τοῖς Ἕλλησι μυρίας,
παράγει ταύτην λέγουσαν ὡς ἀποκρινομένην,
ὡς ἐκ Θηβῶν ἐκράτησαν τάχα γυναῖκας δύο,
τὴν Χρυσηΐδα τε αὐτὴν καὶ γε τὴν Βρισηΐδα,
καὶ Βρισηΐδα δωρεὰν τῷ Ἀχιλεῖ παρέσχον,
τὴν Χρυσηΐδα δὲ αὐτὴν ἔλαβεν Ἀγαμέμνων,
παῖδα Χρύσου τυγχάνουσαν, Χρύσου τοῦ ἱερέως.
Ὅστισπερ Χρύσης, ἱερεὺς Ἀπόλλωνος ὑπάρχων,
λαβὼν τὸ στέφος τοῦ θεοῦ δάφνινον ὑπηργμένον
καὶ τὸ χρυσοῦν τὸ μαντικὸν σκῆπτρον, μετὰ καὶ δώρων,
ἦλθεν ἐξωνησόμενος αὐτοῦ τὴν θυγατέρα·
τοῦ Ἀγαμέμνονος δ' αὐτὸν διώξαντος ὀργίλως,
ηὔξατο τῷ Ἀπόλλωνι ὁ Χρύσης καθ' Ἑλλήνων.
Ὁ δὲ λοιμὸν βαρύτατον Ἕλλησιν ἐπιπέμπει.
Τῇ λοιμικῇ δὲ τοῦ στρατοῦ παντὸς συμφθειρομένου,
τοῦ Ἀγαμέμνονος αὐτοῦ ὁ Ἀχιλεὺς ἐδεῖτο
τὴν Χρυσηΐδα τῷ πατρὶ Χρύσῃ πεμφθῆναι τότε,
ὡς μὴ φθαρῇ τὸ στράτευμα νόσῳ τῇ βαρυτάτῃ.
Ὁ δ' Ἀγαμέμνων ὀργισθεὶς τὴν Χρυσηΐδα πέμπει
μετὰ στεφάνων καὶ τιμῆς πρὸς τὸν αὐτῆς πατέρα,
αὐτὸς δὲ, τὸν Ταλθύβιον πέμψας καὶ Εὐρυβάτην,
τοῦ Ἀχιλέως ἔλαβε γυναῖκα Βρισηΐδα·
ὅθεν ὁ ἥρως Ἀχιλεὺς τοῖς Ἕλλησιν ὠργίσθη,
καὶ παντελῶς ἀπέπαυσε τῆς μάχης καὶ πολέμου·

(1180) C, καὶ ἀποκρ., superscripto ὡς. Cf. p. 71, n. 75.
(1182-83) Absunt ab B. Causa omissionis initium v. 1184.
(1184) A B, τε.
(1186) Versus 1186-89 inseruit Burgess. Initiis Homer. p. 76. A B, τυγχάνων.
(1187) Burg. δάφνιον et sic libro A, 15. C, δάφνηνον, sed δάφνινον recte libro A, 15.
(1189) Codd. αὐτοῦ, et sic libro A 17, versu repetito.
(1192) B, λοιμὸν τοῖς Ἕλλησι βαρ. ἐκπέμπει.

οἱ Τρῶες δὲ θαρρήσαντες ἀνέῳξαν τὰς πύλας.
Τὰ δὲ λοιπὰ συνᾴδουσιν Ὁμήρου καὶ τῶν ἄλλων.
Καὶ τοῦ Ὁμήρου μέν ἐστιν ἡ Ἄλφα ῥαψῳδία
τὴν μῆνιν περιέχουσα ταύτην τοῦ Ἀχιλέως·
ἐγὼ δ᾽ οὐκ οἶδα τὸν σκοπὸν τῶν σῶν ἐνθυμημάτων,
εἴτε συντόμως παντελῶς βούλει με ταῦτα γράφειν,
εἴτε πρὸς πλάτος, μερικῶς, κεφαλαιωδεστέρως,
τοῦ Ἄλφα καὶ τοῦ Βῆτά σοι καὶ τῶν λοιπῶν γραμμάτων
τὰς ὑποθέσεις γράφειν με τὰς ἀναγκαιοτέρας,
τὸ τί, καὶ τίς τίνος, παρὰ καὶ τίνος ἐφονεύθη,
καὶ μερικῶς ἀλληγορεῖν ὀλίγα τῶν χρησίμων.
Ταχέως δηλωθήτω μοι· διαπορῶ γὰρ πάνυ.

(1205) A, ἡ πρώτη ῥαψ.
(1212) A B, τὸ τίς. A B C, παρά τινος. Sed quum τίνος sit omnino scribendum, quem accentum hæc versus sedes non admittit, exhibeo τίνος παρά, accentu qui metro aptus sit.

ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Α (*).

Τῆς Ἄλφα ἡ ὑπόθεσις Ὁμήρου ῥαψῳδίας,
ἵνα πρὸς τὴν ὠφέλειαν πάλιν ἐπαναλάβω,
τάδε δηλοῖ κατὰ λεπτὸν ἅπερ ἐνθάδε φράσω.
Ὁ Ὅμηρος ὁ πάνσοφος τὴν γνῶσιν τὴν οἰκείαν
ὡς Καλλιόπην, ὡς θεάν, ὡς Μοῦσαν παρεισάγων,
ἀνερωτᾷ τὸ αἴτιον ὀργῆς τῆς Ἀχιλέως,
ἀφ᾽ οὗ πρὸς Ἀγαμέμνονα διήχθρευσεν ἐρίσας.
Ἡ δὲ φησίν, ὡς πρὸς αὐτὸν δῆθε, πᾶν τὸ βιβλίον,
οὕτως ἐντεῦθε τὴν ἀρχὴν τοῦ λόγου ποιουμένη.
Ὁ τῆς Λητοῦς καὶ τοῦ Διὸς Ἥλιος παῖς Ἀπόλλων
τῆς ἔχθρας καὶ τῆς μήνιδος αἴτιος ἐγεγόνει·
ὁ Χρύσης γὰρ ἦν ἱερεὺς Ἀπόλλωνος Ἡλίου,

(*) Addidi lemma, simile additurus sequentium librorum unicuique. Lemma est in A : ὑπόθεσις τῆς ἄλφα Ὁμήρου ῥαψῳδίας. In B, ἀρχὴ τῆς Α Ὁμήρου ῥαψῳδίας. Sic A B in reliquis rhapsodiis. In C pro lemmate est tantum in margine A rubricatum.

(1) Consentit codex Burgessii qui inter Initia Homerica versus primos 13 hujus libri descripsit p. 62.

(2, 3) Desunt in A.

(5) Burg. γνώμην. Schol. in C : σημείωσαι τί ἐστιν ἡ Μοῦσα. Conf. Proleg. 1172, lib. 2, 113.

(6) Burg. τί.

(8) A B, Burg. δῆθεν. C, δῆθε. Exemplum quidem in Thesauro adlatum est ex Tzetzæ Chiliadibus I, 832 formæ δῆθε. Sed est in Basileensi editione δῆθεν, quod et ipse reperi in bono codice 2644. At reperio δῆθε mox v. 121; cui favet δῆε frequentissimum (vide ad Proleg. 389); favet et proximum ἐντεῦθε codicis C; ὄπισθε Γ, 145; ἔσωθε Prol. 691 in C. Multa alia similia non congeram, modo monere liceat in Tzetzæ epistola post Chiliadas p. 523, pro πατροθετόθεν legi πατροθετόθε in optimo codice 2644. Cf. librum Θ, 179, 240.

(9) Burg., ἐνταῦθα. C, ἐντεῦθε. A B, ἐντεῦθεν.

(10) Schol. in C. Λητὼ τὸ σκότος τὸ ἀρχέγονον καὶ ἡ νύξ. Ζεὺς νῦν ὁ οὐρανός. Ἐκ χάους ἐκείνου γὰρ ῥαγέντος ὁ ἥλιος ἐν οὐρανῷ ἐφάνη. Bibliopegus particulam scholii resecuit. Reliquit ω primæ vocis, secundæ ἀρχέ; ὄν periit; ex participio ῥαγέντος superest ῥα ντος, et φάνη verbi ultimi.

(12) Burg., C, ἦν γάρ.

ἦγουν σοφὸς καὶ ἐπῳδὸς, ἀστρονομῶν καὶ μάγος,
ἐκ τοῦ ἡλίου σύμπαντα ποιῶν καὶ σὺν ἡλίῳ.
Οὗτος τὸ στέφος τοῦ θεοῦ τὸ δάφνινον κατέχων
καὶ σκῆπτρον τούτου τὸ χρυσοῦν, καὶ περισσὰ δὲ δῶρα,
ἦλθεν ἐξωνησόμενος αὐτοῦ τὴν θυγατέρα.
Οἷον, ἵνα σαφέστερον τὸ πᾶν σοι διαρθρώσω,
ὁ Χρύσης, ὅνπερ εἴπομεν ἀστρολογοῦντα μάγον,
ἐστολισμένος μαντικῶς καὶ μαγικῶς εἰσῆλθε,
χερσὶ κατέχων στέφανον Ἀπόλλωνος Ἡλίου,
τουτέστιν εὐωδέστατον θάλλοντα κλάδον δάφνης,
ἣν, περιτρέχων ἥλιος τὸν κύκλον τὸν τοῦ χρόνου,
θάλλουσαν δέδορκεν ἀεὶ, μὴ χέουσαν τὰ φύλλα·
καὶ σὺν αὐτῷ κατεῖχε δὲ καὶ τὸ χρυσοῦν τὸ σκῆπτρον,
τιμίαν ῥάβδον μαντικήν· χρυσῆ γὰρ οὐχ ὑπῆρχεν,
ἀλλὰ ξυλίνη καὶ κυρτὴ, χρήσιμος δὲ μαντείαις·
κατὰ τῆς γῆς γὰρ χέοντες τέφραν ἐκ τῆς ἑστίας
τῇ ῥάβδῳ ταύτῃ τεχνικῶς ἔγραφον τὰς μαντείας,
βλέποντες πρὸς τὸν ἥλιον καὶ λέγοντες τὸ μέλλον·
ταύτην τὴν ῥάβδον Πλούταρχος λίτυον ὀνομάζει,

(15) Burg., δάφνιον. Cf. p. 65, 1187.
(18) A, ὅμως ἵνα. B. Bg., οἷον ἵνα τὸ π. σοι σαφ. διαρθρώσω.
(19) A, τὸν Χρύσην. C, Χρύσης... B. Bg. ὁ χρ... μάγον καὶ ἀστρολόγον.
(20) A, ἐστολισμένως. B C, μαγικῶς κ. μαντ. Bg., κ. μανικῶς.
(21) C, στέφανος.
(23) Bg., περιέχων.
(25) Bg., κατεῖχεν.... χρύσειον τὸ σκῆπτρον.
(26-32) protulit Hodius Appendice ad Malalæ p. 132 ex codice Oxoniensi, intellexitque male de Calchante. Inspexerat codicem properantius. Bg. et Hod. τὴν μίαν. B, χρυσοῦν. A, ὑπῆρχε.
(27) A, χρησίμη.
(28) A, ἐκ τῆς μαντείας.
(29) A ῥαύδῳ, et ῥαῦδον 31. Vid. n. a I Z. 24.
(31) B, Hodius, λύτιον. A, λίτιον. C, Bg., Tzetzes Exegesi pp. 76, 84, λίτυον. Plutarchus Romulo 22, λίτυον. Corrupta lectio lemmatis in C : πῶς ἐμαντεύοντο μετὰ τοῦ λητίου (imo λιτύου), ὅπερ ἦν καμπύλη (cod. καμπίλη) βακτηρία. Tzetzes Exegesi p. 76, καμπέλη βακτηρία ; mendum codicis recentis repræsentante accuratissime ipsa in editione Hermanno illo Godofredo, non facturo aliter si papyrum horrenda vetustate sacrum, Æschyli sui manum heroisve alius tractasset. Scipionem illum comparant, Coraynus ait ad Plutarchum, cum episcoporum incurvo baculo, vernacule « crosse », quem nunc Græci πατερίτζαν vocant, ὑπομι-

λίτουος δὲ Κοκκειανὸς Κάσσιος Δίων λέγει.
Οὕτως ὁ Χρύσης μαντικῶς ἐστολισμένος ἦλθε
σὺν δώροις ὠνησόμενος αὐτοῦ τὴν θυγατέρα.
Ὡς δ' Ἀγαμέμνων μετ' ὀργῆς ἐξήλασεν ἐκεῖνον,
ηὔξατο τῷ Ἀπόλλωνι ὁ Χρύσης καθ' Ἑλλήνων,
ἤγουν ἐπηύξατο σφοδρὸν τὸν ἥλιον γενέσθαι.
Ὁ δὲ σφοδρὸς γενόμενος μετὰ πολλοὺς τοὺς ὄμβρους
εἰς στράτευμα, πολυπληθὲς πύκνωμα σκηνωμάτων,
ἀτμοὺς δυσώδεις ἀνιμῶν καὶ κόπρων καὶ πτωμάτων,
μιάνας δυσκρατώσας τε σύμπαντα τὸν ἀέρα,
καὶ συνεργοῦντος καὶ αὐτοῦ ταῖς μαγικαῖς ταῖς τέχναις,
λοιμοὺς ἐπήγαγε δεινούς, φθείρων ἀνθρώπους, κτήνη.
Καὶ πρῶτον μὲν ἀπήρξατο τὰ κτήνη διαφθείρειν,
ὡς κεκυφότα πρὸς τὴν γῆν, ἧς ὁ λοιμὸς ἐκτρέχει,
καὶ ὡς εὐοσφραντότερα κατὰ πολὺ ἀνθρώπων·
μετὰ μικρὸν δ' ἀπήρξατο κτείνειν καὶ τοὺς ἀνθρώπους.
Ἐννέα μὲν ἐκράτησε τὸ νόσημα ἡμέραις
καὶ τῶν νεκρῶν ἁπανταχοῦ συνήγοντο σωρεῖαι·
δεκάτῃ δὲ συνέδριον ὁ Ἀχιλεὺς ποιήσας,
ἠρώτα τί τὸ αἴτιον τῆς νόσου τῆς λοιμώδους·
ὁ Κάλχας δ' ὁ τοῦ Θέστορος υἱὸς καὶ Πολυμήλας,
« Οἶδα μὲν » εἶπεν, « Ἀχιλεῦ, τῆς νόσου τὴν αἰτίαν·
« τὸν βασιλέα φρίττω δέ· τούτου γὰρ ἡ αἰτία. »
Τοῦ δὲ θαρρύναντος αὐτόν, ἄρχεται λέγειν οὕτω·

μνήσκουσαν δηλονότι τοὺς φέροντας ὅτι πατέρες, οὐ δεσπόται, τοῦ πλήθους εἰσί.

(32) A, λιτουτικὸν Κοκκιανὸς κάσιον. B, λίτους δὲ K. Bg., λιτύους. C, λίτουος, bene. Melius Tzetzes Exegesi p. 76, λίτουους. Hodius, λιτούους... Δίος' et corrigit Δίων.

(34) Bg., ὠνησάμενος.

(40) B. ἰσμούς. Bg., ανεμων.

(41) A, δέ.

(42) A B C, Burg., ὡς συν. In C varietas καί.

(45) A, οἷς ὁ λ. εἰστρέχει. Illas opinationes sunt Tzetza antiquiores. Sequitur veteres commentatores. Vide Scholia ad Il. 1, 50.

(47) B C, sine δ'.

« Τὸ λοιμικὸν ἐνέσκηψε νόσημα στρατοπέδῳ,
« ἀνθ' ὧν ἀτίμως ἤλασε τὸν Χρύσην Ἀγαμέμνων,
« ἄνθρωπον μάγον, καὶ δεινὸν εἰς τὸ μεγάλα βλάπτειν,
« ἐλθόντα πρὸς ἐξώνησιν παιδὸς τῆς Χρυσηΐδος.
« Οὗτος γὰρ ἄκρως λυπηθείς, ἐν μαγικαῖς ταῖς τέχναις
« εὑρὼν καὶ τὴν ἐκφλέγουσιν ἡλίου συνεργοῦσαν,
« ἐπήγαγε τὸ νόσημα, καὶ παῦσις οὐκ ἐσεῖται
« πρὶν ἂν ἀποκομίσαιμεν αὐτῷ τὴν θυγατέρα,
« μετὰ καὶ δώρων καὶ τιμῆς αὐτὸν ἐξιλεοῦντες·
« καὶ τότε τρέψει τὸν λοιμὸν ἐν ἐπῳδαῖς ἑτέραις. »
Οὕτω τότε τοῦ Κάλχαντος εἰπόντος τὴν αἰτίαν,
ὁ Ἀγαμέμνων μετ' ὀργῆς ὁ βασιλεὺς ἀνέστη,
καὶ πέμπων πῦρ ἐξ ὀφθαλμῶν κακολογεῖ τὸν μάντιν·
ὁ δ' Ἀχιλεὺς ὑπερμαχῶν τοῦ μαντέως ἀνέστη,
καὶ πρὸς τὸν Ἀγαμέμνονα φησὶ τὸν βασιλέα·
« Πέμψον τὴν κόρην, βασιλεῦ, τὴν Χρύσου θυγατέρα
« ὑπὲρ παντός σου τοῦ στρατοῦ καὶ τούτου σωτηρίας·
« ἡμεῖς δ' ἄνπερ πορθήσωμεν τὴν Τρωϊκὴν τὴν πόλιν,
« διπλᾶ, τριπλᾶ σοι, τετραπλᾶ δώσομεν ὑπὲρ ταύτης. »

(62) Futuri ea forma ἐσεῖται frequentissima est in scriptoribus ætatis recentioris, ceterum accuratis.

(24) A, εἰθοποιίαν. Hanc vocalium η; ει permutationem metuo ne nocuerit centonis tragici Χριστοῦ Πάσχοντος auctori, quem diu Gregorium illum Nazianzenum vocaverunt librarii hominesque litterati. Chorus ad Deiparam in Billyana 124: Καί τοι δέδορκ' ἐνθάδε τῶν παιδός τινα Στείχοντ' ὀπαδῶν, πνεῦμά τ' ἠρεθισμένον, Σπουδῇ πρὸς ἡμᾶς τόνδ' ἰθύνοντα δρόμον. Δείκνυσι δ' ὥς τι καινὸν ἀγγέλλει παρών. Est tempus presens ἀγγέλλει manifesto laborans mendo, quum nuntius absit adhuc nihilque narret. Codex 2707, ἀγγείλῃ, quod nuper in ordinem receptum displicuisset viro d., si Euripideæ Medeæ meminisset dicentis v. 1115: Καὶ δὴ δέδορκα τόνδε τῶν Ἰάσονος Στείχοντ' ὀπαδῶν, πνεῦμα τ' ἠρεθισμένον Δείκνυσιν ὥς τι καινὸν ἀγγελεῖ κακόν. Est ἀγγελεῖ unice verum. Receptum fuit et ex eodem libro στείχονθ' ὀπαδῶν. Varietas est futilis. Editores Medeæ diligentissimi Elmsleyus, Fixius, Sinnerus ὀπαδῶν legunt, et in Lexico περὶ πνευμάτων est ὀπαδὸς inter τὰ ψιλούμενα. Versum quem Medeæ ῥήσει inseruit poetaster non ex ingeniolo sumsit, sed, ut solebat, ex memoriola. Chorus enim in Hippolyto nuntium cernens properantem, Καὶ μήν, ait v. 1146, ὀπαδὸν Ἱππολύτου τόνδ' εἰσορῶ Σπουδῇ σκυθρωπὸν πρὸς δόμους ὡρμώμενον. Atque in eadem tragœdia verba legerat v. 1221: καὶ μὲν... ἰθύνοι δρόμον. Ceterum melius iste versus reliquis jungeretur, scripto πνεῦμά τ' ἠρεθισμένον Σπουδῇ πρὸς ἡμᾶς τόνδ' ἰθύνοντα δρόμον Δείκν.

(25) Et hic memoria fefellit Tzetzem. Ethopœia non Achillis est, sed Priami Hectorem alloquentis. Cf. Il. 22, 41.

(29) Il. 22, 60.

(30) Cf. Il. 22, 61.

(31) Cf. Il. 22, 130.

« Ὡς τὼ τρὶς Πριάμοιο πόλιν περιδινηθήτην
« καρπαλίμοισι πόδεσσι· θεοὶ δέ τε πάντες ὁρῶντο. »
« Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
« Ὢ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
« ὀφθαλμοῖσιν ὁρῶμαι, ἐμὸν δ' ὀλοφύρεται ἦτορ ».
Θεοὺς ἄρτι μοι νόησον, ἄστρα καὶ τοὺς ἀστέρας
ἐξ ὧν ἀνθρώποις γίνεσθαι φασὶ τὰ εἱμαρμένα·
ἀστρολογεῖ γὰρ Ὅμηρος νῦν τούτῳ τῷ χωρίῳ
καὶ λέγει καὶ θεμάτιον τῆς μάχης σοι τῆς τότε,
ὅτι ὁ Κρόνος Ἄρης τε, οἱ κάκιστοι ἀστέρων,
ἐκ τετραγώνου σχήματος ἀλλήλους καθεώρων.
Τὸ σχῆμα τοῦτο δὲ ποιεῖ μεγάλας ἐπιτάσεις·
ἂν ἀγαθοὶ καὶ ἀγαθοὺς ἐν τούτῳ καθορῶσι,
δρῶσιν αὐξήσεις ἀγαθῶν· ἂν δὲ κακοί, τῶν φαύλων.
Τοιοῦτον τὸ θεμάτιον ἦν τὸ τῆς μάχης τότε,
ἔχον τετραγωνίζοντας τὸν Ἄρεα καὶ Κρόνον.
Κἂν προφανῶς ὁ Ὅμηρος ἀστρολογεῖν οὐ θέλῃ,

(32-35) Ex Il. 22, 165, 169. — A, διωκόμενόν τε τεῖχος.

(37) A B, ἄστρα μοι v. ἄστρα.

(38) A, ἀνθρώπους. B, ἀνθρώπους, superscripto οις.

(40) B, θεμάτιον μάχης.

(41) A, χρόνος· sed 47 Κρόνον.

(42) A B, ἐθεώρουν. Cf. v. 44.

(44) A, καὶ ἀγαθῶς. B, καὶ ἀγαθῶν. C, ἀγ. γὰρ ἀγαθούς.

(47) A B, τετραγωνίζοντα.

(48) A, θέλει, de more permutatis vocalibus η ει. In poemate, indicando ad Ψ 92, versus 142 sic fuit editus: Ἐπεὶ δ' οὐκ ἦν ἐπιτυχεῖν τῇ αἰτήσει Ντζενέβρα. Codex exhibuit viro d., ἐπὶ τύχην, quod optime mutavit, sed τὴν αἴτησιν omnino servare debuit. Rursus v. 157 male cessit viro d. emendandi conatus. Scripsit, Καὶ μὴ πρὸς ποθὴν ἔλθῃς σὺ κόρης εὐπρεπεστάτης· quod quidem bene græcum est aptissimumque sententiæ loci; sed, præ diligentia, notavit sedulo quam repererat in codice scripturam κότην ἔλθεις, unde fit manifestum ἔλθῃς fuisse optime restitutum, sed κοίτην facillime pro κότην potuisse legi. Nonnusquam plus suo indulsit genio ac liberiori arbitrio quam licebat editori. Sic scripsit v. 182: Καὶ παρανόμους ἁρπαγὰς εἰργάζετο πλειστάκις, quum tamen invenisset in codice, ipso fatente, ἠργάσατο, aptum tempus et augmentum probabile. Peccavit in eodem tempore lubens volensque v. 166, scribens, Περιπλακεὶς δ' ἠσπάσατο γενναίῳ τῷ πρεσβύτῃ, pro optima librarii lectione ἠσπάζετο. Mutat cum eadem temeritate, versu 169, manum librarii, Ὁ δέ φησιν, καθ' ἡδονὴν ὑπάρχει σου τὸ ῥῆμα, rescribens, Ὁ δ' ἔφη, μοι καθ' ἡδονήν... munere contentus in codice μοι esse super-

τὸν ἀγαθὸν ἀστέρα δὲ τὸν Δία παρεισφέρει
ἐν τοῖς κακοῖς ἡττωμένον, ἔχοντα φαύλοις τόποις
καὶ τὴν σελήνην, Ἀθηνᾶν, ὡς πρὸς αὐτὸν κειμένην.
Εἷς δὲ ἀστὴρ ἡ Ἄρτεμις καὶ Ἀθηνᾶ, σελήνη·
ὅθε Διὶ τὴν Ἀθηνᾶν ἐναντιουμένην λέγει,
καὶ τελευτὴν τὴν Ἕκτορος σὺν δόλοις εἰργασμένην.
Ἐπεὶ γὰρ τὸ θεμάτιον ἐπιϐλαϐὲς ὑπῆρχε,
καὶ δόλοις ὑπεσήμαινεν Ἕκτορα τεθνηκέναι.
Ὡς Ἀχιλεὺς ἐδίωκε τὸν ἥρωα ἐκεῖνον,
μόνον ἐκ Τρώων τῶν λοιπῶν ἔξω τοῦ τείχους ὄντα,
αὐτὸς ὑπάρχων σὺν στρατῷ σύμπαντι τῶν Ἑλλήνων,
ὅμως δὲ τοῦτον κατασχεῖν τρέχων οὐκ ἠδυνήθη·
ἀνένευε τῷ σύμπαντι στρατῷ δὲ τῶν Ἑλλήνων
ἐφ' Ἕκτορι τοξεύματα μηδόλως ἀφιέναι,
« μή τις κῦδος ἄροιτο βαλών, ὁ δὲ δεύτερος ἔλθοι ».
Τὶς τῶν Ἑλλήνων ὅμοιος ὑπάρχων Δηϊφόϐῳ,
τὸ πλέον καὶ τοῖς ὅπλοις δὲ τελῶν συγκεκρυμμένος,
τοιοῦτον ἄνδρα παρελθὼν ὡς ἀδελφὸς οἰκεῖος,
πείσας ἐν δόλοις ἤγαγε τῷ Ἀχιλεῖ κτανθῆναι,
οὓς δόλους Ὅμηρος φησὶ τῆς Ἀθηνᾶς ἀπάτην.
Ὅρα δὲ πῶς τὰ εὐτελῆ ὑψοῖ ἀλληγορίαις,
ὥσπερ τὸ πρὶν τοὺς ὑετούς, ἀνέμους καὶ τοιάδε,
καὶ ὅπως νῦν τοὺς ὑψηλοὺς λόγους ἀστρονομίας
τοῖς μυθικοῖς λεαίνει τε καὶ κατασπᾷ τοῖς κάτω.

scriptum. Fecit quod sæpe fecerunt librarii male seduli; recepit in contextum auctoris scholium grammatici, annotantis ad ὑπάρχει mente μοι esse jungendum.

(51) Cf. Il. 22. 177.

(52) C, γὰρ, superscripto δὲ.

(53) A B, ὅθεν. Cf. n. ad v. 142; ad librum A, 8.

(54) B, τοῦ Ἕκτορος.

(56) A B, ἐπεσήμαινεν.

(61) Il. 22. 205.

(63) Ex Il. 22, 207.

(64) A B C, τὶς. Scripsi τίς. Sed malim transponi, τῶν Ἑ. τὶς ὅμοιος, ne enclitica inchoet sententiam.

(68) Conf. Il. 22, 299.

(69) A B, ἀλληγορήσας.

(72) A, λεαίνεται.

Ἀλλὰ τὸν νοῦν εἰρήκειμεν πάντα συντέμῳ λόγῳ,
νῦν δὲ καὶ μέρη λέξωμεν τῶν χρειωδῶν τινά σοι.
Θεοὺς πάντως εἰρήκειμεν ἄστρα καὶ τοὺς ἀστέρας·
τὸν Δία δὲ κηδόμενον Ἕκτορος παρεισφέρει,
ὡς ὄντα δότην ἀγαθῶν καὶ ἀγαθὸν ἀστέρα,
καὶ συνεργὸν καὶ πρὸς τὸ ζῆν Ἕκτορι καθεστῶτα,
εἰ μὴ νικῶντες οἱ κακοὶ τούτου ἀστέρες ἦσαν.
Ἑρμῆς τε ὁ διπρόσωπος ἐνέτεινε τὴν βλάβην,
καὶ Ἀφροδίτης ὁ ἀστήρ. Ὡσαύτως καὶ τὰ φῶτα,
σελήνη τε καὶ ἥλιος, ἦσαν ἐν φαύλοις τόποις.
Πῶς Τριτογένειαν φησὶ νῦν τὴν σελήνην μάθε·
ὅτι τριταία φαίνεται μετὰ συνόδου χρόνον.
« Πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγε θανάτοιο,
« εἰ μή οἱ πύματόν τε καὶ ὕστατον ἤντετ' Ἀπόλλων
« ἐγγύθεν, ὅς οἱ ἐπῶρσε μένος λαιψηρά τε γοῦνα;
« λαοῖσιν δ' ἀνένευε καρήατι Δῖος Ἀχιλεύς,
« οὐδ' ἔα ἱέμεναι ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα,
« μή τις κῦδος ἄροιτο βαλών, ὁ δὲ δεύτερος ἔλθοι ».
Πῶς δέ κεν Ἕκτωρ ἔφυγε τὴν μοῖραν τοῦ θανάτου,
εἰ μὴ ὁ ἥλιος αὐτῷ βροσβοηθῶν ἐπῆλθε,
τουτέστι κατὰ πρόσωπον φανεὶς τοῦ Ἀχιλέως,
τὸν μὲν ἀπεῖρξε τῆς ὁρμῆς, τῷ δὲ προσεβοήθει;

(73) A, εἰρήκαμεν πάντη. Cf. ad Π, 124.

(74) B, μέρει, non male utique. A C, μέρη. Visum est μέρη τινὰ bene etiam opponi τῷ πάντα. A, λέξομεν.

(75) B, εἰρήκαμεν. A, εἰρήκειμεν e correctione.

(77) A, δ' ἀγαθόν. Et B, ἀγαθὸν superscripto ῶν.

(78) A B C, Ἕκτορα. Scripsi Ἕκτορι.

(80) Mercurius διπρόσωπος jam mihi notus ex Pachymere Declam. p. 64. Pachymeris locum ostenderam Letronnio, ac fere memini aliquid animadversionis a viro d. fuisse scriptum alicubi.

(83) φησὶ Homerus Il. 22, 183.

(85-90) Il. 22, 202-207. — C, λαοῖσι. B, ἀνάνευε.

(89) Est ultimus folii 316 in codice C, sequens autem folii 319, turbato plurimorum ordine foliorum. Vide n. ad v. 2.

(94) A, ὀργῆς.

Τοῦτο Ὁμήρου παίγνιον νόησον τοῦ πανσόφου.
Ὁποῖος ἦν ὁ Ἕκτωρ γὰρ καὶ Ἀχιλεὺς ὁποῖος
τοῖς κατωτέρω ἔπεσιν ἐμφανεστάτως γράφει·
ὅτι ὁ Ἕκτωρ μόνος ἦν, πᾶς δὲ στρατὸς Ἑλλήνων,
καὶ δι᾽ ἐκείνους σύμπαντας ὡς πρὸς φυγὴν ἐχώρει
κἂν ἁπλουστέροις δείκνυσι δι᾽ Ἀχιλέα φεύγειν·
ὅμως καὶ οὕτω σὺν στρατῷ πάντι τῷ τῶν Ἑλλήνων
αὐτὸς προτρέχων πάντων τὸν ἥρωα οὐκ ἔσχεν.
Ὅμηρος κρύφα παίζων δὲ τὸν ἥλιον σοι λέγει
λάμποντα κατὰ πρόσωπον εἶρξαι τὸν Ἀχιλέα,
ὅθεν εἰ παῖς τις ἀσθενὴς παλαίστρᾳ καταπέσῃ,
ἐπιχλευάζων εἴπῃ δέ τις ἔννους ὥσπερ τάδε·
γενναῖος οὗτος πέφυκε σκέλει, πληγεὶς δὲ πίπτει.
Τοιαῦτα καὶ ὁ Ὅμηρος παίζων δοκεῖ μοι τῇδε.
Ἀλλ᾽, Ὅμηρε δεινότατε τῶν πάντων λογογράφων,
καὶ λέγων τὴν ἀλήθειαν καὶ μὴ δοκῶν δὲ λέγειν,
τὸ « τοῖς λαοῖς ἀνένευεν » ὁ Ἀχιλεύς, καὶ τἄλλα.
δεικνύουσι τὸν Ἕκτορα οἷος προστὴρ ἦν μάχης·
ἃ δὲ δι᾽ ἥλιον νῦν φῇς παίγνια σοῦ τυγχάνει.
« Πάτηρ », ἡ εἱμαρμένη δὲ ἡ πᾶν ἀπογεννῶσα·
« χρύσεια τάλαντα » φησὶ ῥοπὴν τῆς εἱμαρμένης.

(96) A B, ὁ ποῖος bis.
(101) A, οὕτως.
(103) B, κύφα. A B, δὲ παίζων.
(105) C, καταπέσοι.
(106) A C, εἴποι. A B, ὡς πρὸς τάδε.
(108) C, παίζειν. Electio ambigua παίζειν inter et παίζων, bona utraque syntaxi. Tzetzes Chil. 11, 363: ἔληξεν Ἑρμογένης γράφων. Cod. 2644 γράφειν.
(110) A, κελέγων... δοκεῖ. B, δοκεῖν.
(111) Conf. Il. 22, 205.
(112) A B Ἕκτορα ἧς προστήρ.
(113) A B, ἃ δὲ δι᾽ ἴλιον. A B, τυγχάνειν. Cf. Il. 22, 203, ubi de auxilio Apollinis. Ἴλιον pro ἥλιον, permutatis de more litteris ι η. Scholium inter Anecdota Oxon. t. 3, p. 362, ad Epistolam Tzetzæ xxx. (imo 40): σελαγησμῶν] σελαγισμὸ ἀττικῶς ι. Manifestum est mendum, quod lapsum esse calami dixerim, vel errorem typothetæ. In ipso codice est scriptum σελαγισμῶν, superimposita littera η litteræ iota.
(114) Il. 22. 209. A B, ἡ παῖς.
(115) Il. 22, 209. B, φησιν ἡ παῖς, mala repetitione præcedentis versus.

Τὸ « λίπεν ὁ Ἀπόλλων » δέ, τοῦτο δηλεῖ ὁ Φοῖβος,
ὅτι, ἐπείπερ εἵμαρτο Ἕκτορα τεθνηκέναι
ὁ συνεργῶν πρὶν ἥλιος τῷ βλάπτειν Ἀχιλέα
οὐδὲν ἐλυσιτέλησεν ὡς μὴ θανεῖν ἐκεῖνον.
« Πηλείωνα δ' ἵκανε θεὰ γλαυκῶπις Ἀθήνη ».
Νῦν Ἀθηνᾶν τὴν συσκευὴν, τὸν δόλον ὀνομάζει,
δι' οὗπερ διεξέδραμεν Ἕκτωρ τὴν βίου πύλην.
« Θεοὺς δὲ ἐπιδώμεθα », ὀμόσωμεν στοιχεῖα,
τὸν οὐρανόν τε καὶ τὴν γῆν, τὴν θάλασσαν, ἀστέρας.
« Θεοί με νῦν ἐκάλεσαν πρὸς θάνατον » ὁ δόλος·
τουτέστιν ἐξαπάταις νῦν καὶ δόλοις ἀποθνήσκω·
τὸ ἑνικὸν πληθυντικῶς θεοὺς κατονομάσας,
μεθόδῳ τῆς δεινότητος, ἢ καὶ τὴν εἱμαρμένην.

(116) Il. 22, 213. B C, τοῦτον.
(120) Ex Il. 22, 214. B, πλείονα.
(123) Il. 22, 254. B, δ' ἐπιδώμεθα. A, δ' ἐπιθώμεθα.
(125) Cf. Il. 22, 297. A B, θεοὶ μὲν νῦν.
(126) A B, ἐξαπάτης. B, δόλοις ἀποθνήσκει. Cf. Il. 22, 299.
(128) C, μεθόδου. Sæpe animadvertit Tzetzes uti Homerum μεθόδῳ δεινότητος, Proleg. 1160; O, 37: φ, 186. Atque frequens est alibi in mentione μεθόδου δεινότητος. Narrat Chil. 6, 435, quam feliciter simulata ira Archelaus Alexandrum generum ab ira patris fratrisque defenderit: Οὕτω γὰρ δράσας, καὶ εἰπὼν δεινότητος μεθόδῳ, Πρὸς τὸ κρατοῦν δὲ τοῦ θυμοῦ πάθος μὴ ἀντιτείνας, Ἤνυσεν ὅσον ἔχρῃζεν, οἷα δεινὸς ὢν ῥήτωρ. Ibi est scholium, quod quærendum in Anecd. Oxon. t. 3, p. 368. Exstat notissimus Hermogenis liber περὶ μεθόδου δεινότητος, in quem et auctorem Tzetzes summa cum severitate invehitur Chil. 6, historia integra 79, se anteponens ipsum rhetori illi celeberrimo. Plures ibi sunt versus corrupti, quos Codex, 2644 non saniores exhibet. Vidi tamen meam correctionem ad Theophylacti Simoc. Epistolas p. 284 propositam, κάλει in clausula pro καλεῖν, a codice confirmari. Rursus Chil. 11, 353 acerbus judex: Ἐν τῷ περὶ μεθόδου δὲ δεινότητος βιβλίῳ Μηδὲν μεθόδου ἄξιον δεινότητος συγγράψας..... et se rhetorem ait confutasse Ὡς ἄλλους πάλιν ἀλλαχοῦ ῥήτορας, φιλοσόφους κ. τ. λ. Cujus censuræ finem adponam, mendi corrigendi causa: Καὶ συμπεραίνει δὲ τὴν τέχνην τῶν ῥητόρων Ἐν τῷ περὶ μεθόδου σοι δεινότητος βιβλίῳ. Lacuna prioris versus non fugit Kiesslingium. Codex 2644 integrior: κ. συμ. δὲ αὐτὴν τὴν... Et Hermogenem non sine contemptu tangit scholio in Crameri Anecdotis Oxon. t. 3, p. 365: ὅταν οὖν ἀκούσῃς Ἑρμογένους λέγοντος σχῆμα διὰ σχήματος ἐκφέρειν, λέγε τούτῳ σιωπᾷν. Rursus Tzetzes scholio ad Epistolam suam XIII (imo 14) ibidem p. 361: τοῦτο τὸ χωρίον ὅλον μεθόδῳ δεινότητα (imo δεινότητος. Codex quidem compendiose finem vocabuli exhibet, sed de lectione nil esse potest dubitationis) διδάσκει πότε δεῖ ψεύδεσθαι ῥήτορας, ἤτοι, ὅταν συμφέρῃ τοῖς ἀκούουσιν, κ. τ. λ. Idem p. 362, Scholio ad Epistolam XLVII (imo 59): ἐπιτίμηται (in codice 2644 e reliquiis vocabuli a bibliopego mutilati lego ἐπιτιμητι-

Ἀλλ' ἔστι κρεῖττον ἐν τοῖς νῦν θεοὺς τὸν δόλον λέγειν,
ὃν πρὶν προεῖπεν Ἀθηνᾶν ὁμοίαν Δηϊφόβῳ,
τὴν πανουργίαν τοῦ ἀνδρὸς ἐκείνου τοῦ δολίου
ὃς καὶ τὸ δόρυ τὸ ῥιφὲν καθ' Ἕκτορος εἰς μάτην
ἔμπαλιν ἀντανέστρεψεν ὡς πρὸς τὸν Ἀχιλέα.
Τὸ « ἐπιείκελε θεοῖς », τοῖς ἄστρασιν ὁμοῖε·
« Ἐκ τοῦ Διὸς τὸν μόρον δὲ ᾔδεις », τῆς εἱμαρμένης.
Τὸ « εἴ τοι ἔδωκε θεός », πάλιν ἡ εἱμαρμένη·
εἴτουν εἴπερ σοι πάρεστι ῥώμη χειρὸς καὶ σθένος.
Θεοὶ γάρ, ὡς προείπομεν, καὶ ψυχικαὶ δυνάμεις,
ὡς ἔστι νῦν καὶ τὸ « θεοὶ », ὡς εἴπομεν, οἱ δόλοι,
καὶ Ἀθηνᾶ ὁμοίως νῦν· παράχρησις δὲ τοῦτο.
Αἱ ἀρεταὶ γὰρ σύμπασαι μεσότητες τελοῦσιν,
ἑκάστη δ' ἑκατέρωθε παράκεινται κακίαι,
ἐλλείψεως ἡ μία μέν, ὑπερβολῆς ἀτέρα·
ὥςπερ καὶ νῦν ἡ φρόνησις, ὡς ἀρετή, μεσότης·
κακία κατὰ ἔλλειψιν πάλιν ἡ ἀφροσύνη,
κακία δ' ὑπερβάλλουσα φρονήσεως, οἱ δόλοι.
« Ζηνὶ » τῇ εἱμαρμένῃ δέ, « Ἀπόλλωνι » ἡλίῳ·
ἤτοι οὕτως ἐδέδοκτο ἐμοῦ τῇ εἱμαρμένῃ,
καὶ χρόνος τέλος ἔσχηκε ζωῆς ἐμῆς, ὡς βλέπω.

κή) ἐλεγκτικὴ καὶ δριμύττουσα, καὶ βαρύτητι (cod. compendiose quidem, sed lego βαρύτητος) γέμουσα μεθόδῳ δεινότητος.

(130) πρὶν scilicet Il. 22, 227.

(132) Cf. Il. 22, 276. B sine τό.

(134,135) Il. 22, 279, 280.

(136) Il. 22, 285. A B, εἶτι.

(138) A, καὶ ψυχαὶ δυν.

(140) A B, ὁμοίως δέ.

(141) A, σύμπαντες. A B, μεσότητα.

(142) A B, ἑκατέρωθεν. Vide ad v. 53. Mazaris qui dicitur in meis Anecdotis Gr. t. 3. p. 147: ταῖς ἀρεταῖς, κατὰ τὸν εἰπόντα, παραπεπήγασιν αἱ κακίας. Gregorius Naz. est ὁ εἰπών, Oratione scilicet 20, p. 361. Sextus Emp. Adversus ethicos § 121: ἕκαστος τῶν ἀνθρώπων τὸ δοξασθὲν ὑπὸ αὐτοῦ ἀγαθόν τε καὶ αἱρετὸν συντόνως διώκων καὶ μετὰ σφοδροῦ πείσματος λεληθότως εἰς τὴν ἀγχίθυρον κακίαν ἐμπίπτει.

(143) A, ἀτέρω.

(145) A, καὶ μία.

(146) A, ὑπερβάλλουσαν.

(147) Il. 22, 302.

(148) A B, ἐδέδεκτο. Cf. Il. 22, 303. Mox B, ἴσχικε. A, οὐ βλέπω.

Ὁ χρόνος περιδρόμοις δὲ ἡλιακοῖς πληροῦται,
οὓς Ἥφαιστος, τὸ πῦρ ἅμα καὶ ὁ πυρὸς ἐργάτης,
περὶ τὸν λόφον τῆς κυνῆς τέθεικε πυκνοτέρως.
« Φράζεο νῦν μή τοι τι θεῶν μήνιμα γένωμαι »·
μή σοι ὀργὴ ἐκ τῶν θεῶν ἔλθοι, τῆς εἱμαρμένης,
ἐν τῷ ναῷ Ἀπόλλωνος ὅταν σε Πάρις κτάνῃ.
Τὴν ἐν ναῷ ἀναίρεσιν τήνδε τοῦ Ἀχιλέως
εἰδὼς ὁ Ὅμηρος φησίν, Ἕκτωρ δ' οὐκ ἦν προφήτης,
ἢ ἴσως ἐν μαντεύμασι προῄδει καὶ ὁ Ἕκτωρ.
« Ὁ Ζεὺς » ὁ πλάνης νῦν ἀστήρ, « θεοὶ » ἀστέρες ἄλλοι·
τουτέστι, θάνω καὶ αὐτὸς ἣ μοῖρα ἐκληρώθην.
« Θεοὶ δαμάσαι ἔδωκαν », καὶ νῦν ἡ εἱμαρμένη.
« Ὦ Τρῶες κατὰ ἄστυ θεῷ ὣς εὐχετόωντο »,
τουτέστιν ᾧ ἡβρύνοντο, ἐκόμπαζον μεγάλως,
οἷα θεῷ, τυγχάνοντι στοιχείῳ ἐκ τεσσάρων,
ὕδατι, γῇ, ἀέρι τε, ἢ τῇ πυρείᾳ φύσει,
ἅπερ τὰ πάντα συνιστᾷ καὶ διεκτρέφει πάντα·

(150) A, χρόνοις περ. τε. B C, δὲ. Statim versu sequente A B C ἃς, superscripto οὓς in C. Ac v. 152 C B, πυκνοτέρας, quasi fuisset varietas περιδρομαῖς. Vidimus Φ, v. 314 permutata nomina περιδρόμοις περιδρομαῖς. Tzetzes vocat περιδρόμους ἡλιακοὺς allegorice ἐθείρας χρυσέας θαμείας ἃς Ἥφαιστος ἵει ἀμφὶ λόφον, de quo ornamento non meminerat Poeta libro 16 extremo.

(152) A B, κοινῆς pro κυνῆς. Sic libro Η, 83, B, κοινῇ pro κυνῇ. Id fit confusione solita vocalium υ οι. Tzetzes Chil. 8, 889: Ἐκ Τυῤῥηνῶν τὸ πανουργεῖν (sic scribente Kiesslingio pro πανουργοῦν, codiceque 2644 confirmante) τυρεύειν ὠνομάσθη.... Εἶτ' οὖν ἀπὸ τοῦ γάλακτος ὅπερ τυροποιοῦμεν κυκῶντες καὶ συστρέφοντες, πηγνῦντες τε πυτίαις. Sic editio, πυτίαις, sed codex 2644, ποιτίαις. Nec id scriptum temere. Ipse enim Tzetzes scholium id apposuit, receptum a Cramero inter Anecdota Oxon. t. 3, p. 371: Ἀριστοτέλης καὶ ἕτεροι πιτύαις γράφουσιν· αὐτὸς δὲ ποιτίαις γράφω, κατὰ τὸν Ἀλκίφρονα ῥήτορα. Exstat quidem in Wagneriana t. 2, p. 226, Alciphronis ex Epistola inedita fragmentum; sed cum scriptura πυτίας. — Libro Iliadis 20, 397, 398, κυνέη et κόρυς synonyma sunt.

(153) Ex Il. 22, 358.

(155) Il. 22, 359. A B, ὅταν δὲ.

(157) C sine δ'.

(158) A B; τοῖς μαντεύμασι.

(159) Il. 22, 366.

(160) B, ἐκληρώθη. A, ἡ. B C, ἥ.

(161) Il. 22, 379.

(162) Il. 22, 394. C sine ᾧ. A, κατὰ ἄστρα.

(163 A, πυρία.

« Ὁ Ζεύς, ἡ εἱμαρμένη νῦν, ἔδωκεν αἰκισθῆναι ».
« Ὥσπερ θεὸν δειδέχατο », ὡς ἥλιον, ὡς τἄλλα.
« Γλαυκῶπις πάλιν Ἀθηνᾶ », ὡς πρὶν εἶπον, ὁ δόλος.
« Κρήδεμνον θ' ὅ ῥά οἱ δῶκε χρυσῆ Ἀφροδίτη »
ἐπιθυμίας ἄξιον, ἐπέραστον, ὡραῖον·
χρυσᾶ δε, ὡς τιμώμενα, τὰ ἐραστὰ νῦν λέγει.
Οὕτω τὸ κρήδεμνον φησὶ νῦν δῶρον Ἀφροδίτης,
ἣ ὁ καιρὸς ὁ γαμικὸς παρέσχετο ἐκείνῃ·
τὰ ἐραστὰ καὶ γαμικὰ πάντα δὲ Ἀφροδίτης.

(167) Il. 22, 403.
(168) Il. 22, 434. A, δειδάχατο.
(169) Il. 22, 446. In hoc versu finis est folii 319 in codice C; cujus auxilio carebo usque ad v. 79 libri Ψ', folio 320.
(170) Ex Il. 22, 470. Codices A B, θ' ἢ ῥά.
(174) A B, ὁ. Scripsi ὁ.

ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Ψ (*).

Ὁ Ἀχιλεὺς τὸν Πάτροκλον θάψας, ὡς τότε νόμος,
προσφάξας τούτου τῇ πυρᾷ δώδεκα Τρώων νέους
καὶ ἵππους ἅμα κύνας τε καὶ ἕτερα μυρία,
ποιεῖ καὶ ἐπιτάφιον ἀγῶνα μετὰ ταῦτα
ἐν ᾧπερ Διομήδης μὲν ἐνίκησε τοῖς ἵπποις,
ὁ Ὀδυσσεὺς τῷ δρόμῳ δέ, καὶ ἕτεροι ἑτέροις.

« Μυρόμενοι, μετὰ δέ σφι Θέτις γόου ἵμερον ὦρσε ».
Θέτιδα νῦν τὸ ἔνυγρον κατάστημά μοι νόει·
ἡ γὰρ ὑγρότης κλαίουσι δάκρυον πλεῖστον φέρει,
ὑγραίνουσα τὰ σώματα· ξηρότης τοὐναντίον.
« Φλογὸς Ἡφαίστου », τοῦ πυρός, κατὰ μετωνυμίαν.
« Ζῆνα », τὸν κύκλον οὐρανοῦ νῦν πάντα κατομνύει.
« Ἡ κὴρ » καὶ μοῖρα, φανερά· πολλάκις εἶπον ταῦτα.
« Χρύσεος » ἐστὶν « ἀμφορεὺς » ἀγγεῖον ὃ ἡ Θέτις
τῷ Ἀχιλεῖ παρέσχηκε, Θέτις ἡ τούτου μήτηρ·
ἐν ᾧ ῥηθέντι ἀμφορεῖ, ὄντι χρυσῆς ἐξ ὕλης,

(*) Lemma in A de more: ὑπόθεσις τῆς ψ Ὁμ. ῥαψ. B, ἀρχὴ τῆς φ ὁμ. ῥαψ., mendo non correcto.
(3) A, μυρῆα.
(7) Ex Il. 23, 14.
(11) Il. 23, 33.
(12) Il. 23, 43. A, κατανόει· nec id quidem male.
(13) Il. 23, 78.
(14) Il. 23, 92. B, ἐμφορεύς.

τριῶν φιλούντων τέφρα τε κεῖται καὶ τὰ ὀστέα,
Πατρόκλου, Ἀντιλόχου τε, αὐτοῦ τε Ἀχιλέως.
« Ἡ ῥοδοδάκτυλος ἠὼς », ἡ τὰ δακτύλων ἔργα
δεικνῦσα ὡραιότατα Χαρίτων Ἀφροδίτης,
οὐ μὴν ὁποῖα τῆς νυκτὸς, οὐκ ἐξηκριβωμένα.
Τοῖς ποταμοῖς οἱ παλαιοὶ ἔκειρον πρώτας κόμας,
ὡς νῦν φησιν ὁ Ἀχιλεὺς πρὸς Σπερχειὸν γλυκέως·
ὅτι τὸ ὕδωρ αἴτιον τοῦ τρέφεσθαι τὰς κόμας.
« Ἐς πηγὰς ὅθι τοι τέμενος βωμός τε θυήεις ».
Σέβας οἱ πρὶν ἀπένεμον τοῖς τέταρσι στοιχείοις,
ναούς τε τούτοις ἵδρυον βωμούς τε θυηδόχους.
« Πυρὸς μένος σιδήρεον », τὸ μέγιστα ἰσχύον.
« Ὣς φάτ' ἀπειλήσας, τὸν δ' οὐ κύνες ἀμφεπένοντο·

(18) A, αὐτοῦ τοῦ ἀχ.

(19) Il. 23, 109.

(23) Il. 23, 144.

(25) Ex Il. 23, 148. A B, ὅτι. Quæ litterarum confusio est facillima. Videtur τ pro θ male scriptum apud Arcadium, p. 55, ubi κάτηλος. Lego κάθηλος. Erit κάθηλος pro πολύηλος, πολύκαρφος. Scholiastes B Persarum Æschileum epithetum πολύγομφον explicat synonymo πολύκαρπον. Scribendum πολύκαρφον. Herodianus Epimerismis p. 47: ἧλος, τὸ καρφίον. Ibi mea nota. Zalyces Lexico: *Clou*, καρφὶ, ἧλος. Vide Corayum ad Isocrat. p. 104; Arnaldum Animadversione erudita p. 178, in hoc tamen inaccuratum, quod καρφὴ vel καρφὶ Græcis sequioribus tribuat. Καρφὴ non est in usu, ac si forte invenitur, mala est scriptura ex iotacismo nata. Dicunt et scribunt καρφὶ, vel καρφὶν, pleno vocabulo καρφίον. Cangius habet quidem καρφὴ, καρφί, sed multa sunt id genus menda in Glossario Cangii, utilissimo opere et laboriosissimo. In Germani Vocabulario Italiano et Græco recte: *Chiodo*, τὸ καρφί. In Corona Pretiosa, καρφὴ mendose. Eadem usus litterarum τ et θ permutatione tentabo Juliani locum Epist. 10, p. 15, qui Heylero est « inextricabilis, scriptura sive corrupta, sive manca »: τολμᾷ δήμος, ὥσπερ οἱ κύνες, ἄνθρωπον σπαράττειν· εἶτα οὐκ αἰσχύνεται καὶ φυλάττει καθαρὰς τὰς χεῖρας, ὡς προσάγειν πρὸς τοὺς θεοὺς αἵματος καθαρευούσας. Opinor cum Heylero sedem esse corruptionis in uno alterove vocabulorum similium καθαρὰς καθαρευούσας, et pro καθαρευούσας rescribo καταρρεύουσας. Qui offendebat ad verbi formam insolitam librarius male sedulus correxerit καθαρευούσας. Occasione data quum Heylerii commentarium evolverem, incido in hæcce verba: « Minime intelligo quid ἱκανὰ in tali contextu significet ». Sic autem habet contextus Julianeus Epist. 17, p. 24: Ἐμοὶ μὲν οὖν αἰσχρὸν εἶναι δοκεῖ τοὺς μὲν χιλιάρχους, ὅταν λείπωσι τὴν τάξιν, καταδικάζειν, καὶ τοι χρὴ ἱκανὰ τεθνάναι παραχρῆμα καὶ μηδὲ ταφῆς ἀξιοῦσθαι· τὴν δὲ... Propono ἐκείνους.

(27) A B, τούτους. Scripsi τούτοις. A, ναούς τε θ. B, e correctione θαούς. Scripsi βωμούς. Homerus l. l. βωμός τε θυήεις.

(28) Il. 23, 177.

(29-33) Il. 23, 184-188. B, ἀμφιέποντο.

« ἀλλὰ κύνας μὲν ἄλαλκε θυγάτηρ Διὸς Ἀφροδίτη
« ἤματα καὶ νύκτας, ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ,
« ἀμβροσίῳ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων.
« Τῷ δ' ἐπὶ κυάνεον νέφος ἤγαγε Φοῖβος Ἀπόλλων ».
Οὕτως εἶπε καυχώμενος, κυσὶ δ' οὐχὶ παρέσχεν·
ἀλλ' ἀπεσόβει κύνας μὲν ἐκ τούτου Ἀφροδίτη,
ἡ τοῦ οἰκείου λογισμοῦ τούτου ἐπιθυμία.
Δία γὰρ νῦν τὸν λογισμὸν τοῦ Ἀχιλέως λέγει,
καὶ τὴν ἐπιθυμίαν δὲ τὴν τούτου Ἀφροδίτην.
Ἐνθυμηθεὶς Πριάμῳ γὰρ τὸν Ἕκτορα πωλῆσαι,
ἐλαίῳ τοῦτον ἔχριεν ὡς ἄσηπτον τηροίη.
Τὸ παλαιὸν γὰρ ἔλαιον, καθάπερ καὶ οἱ ἅλες,
τραυμάτων οὔλωσιν ποιεῖ, καὶ ἄσηπτα τηρεῖ δε.
Ὅθεν φησὶν ὁ πάνσοφος οὗτος ἀνὴρ ὁ γέρων
ἀμβρόσιον τὸ ἔλαιον καὶ θείους δὲ τοὺς ἅλας.
Οὕτω τὴν Ἀφροδίτην μοι νόησον τοῖς ἐνθάδε·
μὴ μέντοι τὸ κατάστημα τὸ εὔκρατον νῦν εἴπῃς·
Περὶ γὰρ καταστήματος τοιούτου πάλιν λέγει.
Κυάνεον Ἀπόλλων δὲ ἤγαγε τούτῳ νέφος
μή, πρὶν ἤτοι μὴ πρότερον ἂν ἀπεμποληθείη,
ξηράνῃ τούτου ἥλιος τὸν χρέα καὶ τὰ νεῦρα.
Ἀπόλλων δὲ καὶ ἥλιος ἐν ἄμφω πεφυκότα,
δι' ἃς δυνάμεις ἔχει μὲν ζωογονεῖν καὶ τρέφειν,
καὶ ἀπολύειν τῶν κακῶν, ποτὲ καὶ ἀπολλύειν.
Τῷ ἀνασπᾷν ἀπὸ τῆς γῆς ἀτμοὺς λοιμωδεστέρους
Ἀπόλλων ὀνομάζεται, ἥλιος δὲ ὡς λάμπων,

(40) A, ἔχρησεν. Voluit ἔχρισεν.
(44) Il. 23, 187. — Il. 9, 214.
(48) Il. 23, 188.
(49) A B, ἂν πρὶν ἐμποληθείη. Fortasse scripsit quod scripsi. Cf. v. 59.
(50) A, χρῶα. Fortasse χρῶτα. B, χρόα bene. Cf. Il. 21, 191.
(51) A, ἔχοιμεν.
(53) A, ἀπολύειν et in clausula.
(54) A, τὸ.

δῆλιος ὢν καὶ φανερὸς, καὶ ἥλιος ἐκθλίψει.
Ἀλλὰ βραχὺ καὶ πάλιν μοι ἀναληπτέον τοῦτο.
Ὁ Ἀχιλεὺς τὸν Ἕκτορα κατέχριεν ἐλαίῳ,
τηρεῖν ἐκεῖνον ἄσηπτον, ὡς ἂν ἀπεμπολήσῃ.
Ἦν δὲ καὶ τὸ κατάστημα σθένον τηρεῖν ἀσήπτως·
κατανεφὴς ὁ ἥλιος ὑπῆρχε γὰρ τῷ τότε,
λαμπρὰς ἀκτῖνας οὐ δεικνὺς ξηραίνειν οὐδὲ σήπτειν.
« Ὕλη τε σεύαιτο καήμεναι· ὠκέα δ' Ἶρις
« ἀράων αἴουσα μετάγγελος ἦλθ' Ἀνέμοισιν.
« Οἱ μὲν ἄρα Ζεφύροιο δυσαέος ἀθρόοι ἔνδον
« εἰλαπίνην δαίνυντο. Θέουσα δὲ Ἶρις ἐπέστη ».
Ἡ τοῦ Πατρόκλου μὲν πυρὰ οὐχὶ ἀνῆπτε τότε.
Τοῦ Ἀχιλέως τολοιπὸν ἀνέμους πνεῖν ποθοῦντος,
Ἶρις ἐφάνη παρευθὺ, τὸ νεφελῶδες τόξον,
καὶ δυτικοὺς ἐκίνησεν ἀνέμους παραυτίκα.
Ἶρις γὰρ πελάγους ἄνεμον φέρει ἢ μέγαν ὄμβρον,
αὐτὴ δὲ πρὸς τὸ πέλαγος τῶν Αἰθιόπων ἔδυ.
Ὅρα δὲ τὸν χρυσόγερων οἷα καὶ πάλιν παίζει
Ἄγγελον Ἶριν λέγων σοι καλοῦσαν τοὺς ἀνέμους,
καὶ εἰλαπίνας τούτων δὲ τοῖς δώμασι Ζεφύρου,
ὅπερ σημαίνει νέφωσιν ἐν μέρεσιν ἑσπέρας

(56) B, ἐκθλίβει.
(59) A, ἀμπεπωλήσῃ.
(60) B, ἀσήπτων.
(62) Sic A B, σήπτειν.
(63-66) Ex Il. 23, 198-201. A, τε σεύαιτο καθήμεναι B, τ' ἐσσεύατο. A B, μετ' ἀγγ. B, ἀνέμοισι.
(67) Cf. Il. 23, 192.
(68) Cf. Il. 23, 194.
(71) Versus est hexameter, fortasse ex poeta aliquo, cujus non memini, sumptus a Tzetza, vel e mendo calami natus et ad politicum rhythmum revocandus, mutato ἀνέμους in πνοάς. Alius librarius e bonis iambicis fecit politicos pessimos in codice 306, pro Menandrea Sententia, Θεὸν προτίμα, δεύτερον τοὺς σοὺς γονεῖς, scribens, Θεὸν προτίμα, καὶ δεύτερον τοὺς γονεῖς. Rursus Sententiam Ἡ κοιλία καὶ πολλὰ χωρεῖ κὠλίγα, sic immutavit: Ἡ κοιλία πολλὰ χωρεῖ καὶ ὀλίγα. Alio modo corrupta fuit in editione Schneideriana a librario qui politicum fecit syllabarum quindecim: Ἡ κοιλία πολλὰ χωρεῖ, ὀλίγα δὲ συμφέρει.
(72) Cf. Il. 23, 205.

ἐξ ὧν νεφῶν οἱ ἄνεμοι ἔμελλον ἐκραγῆναι.
Καὶ σὺ δὲ νόει δυσαῆ, μὴ δυσπνοῦν, ὡς δ' ὁ Τζέτζης,
τὸν ἐκ δυσμῶν ἐκπνέοντα, τὸν κάλλιστον ἀνέμων.
« Βηλὸν » τὴν βάσιν νόησον, ὅπουπερ ἦν τὰ νέφη,
ἐξ ὧν καὶ ἀνεσκίρτησαν οἱ ἄνεμοι εὐθέως
ὡς λεπτυνάσης τὸ ὑγρὸν τῆς Ἴριδος τῷ τότε.
Καὶ ἕκαστος ἐκάλει δὲ πρὸς ἑαυτὸν ἐκείνην·
πάντες αὐτῆς κινήσει γὰρ ἀνώρμησαν ἐκπνέειν·
τὸ κατελθεῖν δ' ἐς πέλαγος μερῶν τῶν ἑσπερίων,
ὅπου καὶ οἱ Αἰθίοπες εἰσὶν οἱ τῆς ἑσπέρας,
λέγει αὐτῆς ἀπάρνησιν καθέδρας σὺν ἀνέμοις,
σπουδὴν δὲ ἀπελεύσεως εἰς γῆν τῶν Αἰθιόπων,
οὗπερ θυσίαι τοῖς θεοῖς, ὧν καὶ αὐτὴ μετάσχοι,
οὗπερ τὸ ὕδωρ, καὶ λοιπὰ στοιχεῖα συνυπάρχει·
τὸ ὕδωρ πάχος γὰρ λαβὸν γῆν παρεισφέρει πάντως,
ἀραιωθὲν ἀέρα δὲ καὶ πῦρ αὖ ἐπὶ πλέον.
Οὕτως ἐκεῖσε οἱ θεοί, τουτέστι τὰ στοιχεῖα,
ἐδαίνυντο, παρούσης δὲ καὶ Ἴριδος εἰς πλέον.

(77) C. νεφῶν καὶ ἀν.

(78) A, βορᾶν δέ. B, βοράν δέ. A, ὡς ὁ Τζ. Loco præmisso Iliadis Zephyrus, non Boreas, δυσαής dicitur. Putavi hic esse lapsum calami et amplexus sum lectionem C. De nomine βορᾶς cum uno σ vid. n. ad Proleg. 417.

(79) Nomen δυσαής non a δὺς adverbio Tzetzes derivat, sed a verbo δύω. Ipsi δυσαής est δυτικός.

(80) Cf. Il. 23, 202. B, βάσιν. A B, ὅπερ παρῆν.

(82) A B, λεπτυνήσας.

(83) Il. 23, 203.

(85) Il. 23, 206. A, μερὰν τῶν.

(89) Il. 23, 206, 207.

(90) A, οὗπερ τὸ ὕδωρ. B C, γὰρ pro τό.

(91) A B, λαβών.

(92) C, ἠρεωθέν. Simile mendum O, 139, ubi ἀρεωθεῖσαν pro ἀραιωθεῖσαν. Eadem permutatione statim ἐκεῖσαι in C pro ἐκεῖσε. Codex poematis de Equitibus Mensæ Rotundæ sic se habere dicitur versu 267: Ὁ πρέσβυς δ' ἦλθεν παρ' αὐτοῖς, χαίρεται φασκιπότται, Ἀντιχαιρε δεξαμένος... Leg. χαίρετε φὰς ἱππόται. Editor valde erravit. Et αὖ scripsi pro ἂν codicum, de qua confusione egi ad Nicetam p. 268.

(94) A B, τὸ πλέον. C, εἰς πλέον. Sic Ω, 46, 52. Synonymum formulæ ἐς πλέον est apud Tzetzam Chil. 8, 652, ἐξυπερπλέον. Nam sic scriptum reperi in bono libro 2644 pro edito ἐξ ὑπερπλέου. Agit Tzetzes de Insula Indica Χρυσῇ. Ἑβραῖοι ταύτην δέ, ait, Ὀφὰτ (in codice ὀφὰ tantum facile nunc legere est, ultima littera

Ἶρις γάρ ἐστι πρόσπτωσις ἡλίου περὶ νέφος.
Ἐγνώκεις καὶ τὸ παίγνιον Ὁμήρου τοῦ πανσόφου.
Ἵππους νῦν « ἀθανάτους » μοι τοὺς ἀθλοφόρους νόει,
ὧν ἀρετὴ αἰώνιος μυρία νικησάντων.
Ὁ Ποσειδῶν δὲ τῷ Πηλεῖ τοὺς ἵππους πῶς δωρεῖται;
τούτους Πηλεὺς ὠνήσατο θαλάσσῃ κομισθέντας
Ἀράβων, εἴτε Σικελῶν, εἴτε καὶ γῆς Περσίδος.
Πῶς τὸν Αἰνείαν ἔσωσεν Ἀπόλλων προεγράφη.
« Ὁ Ζεὺς » ἡ εἱμαρμένη νῦν, ὡς καὶ πολλάκις εἶπον.

correctionis tentamine obscurata) γλώσσῃ τῇ σφῶν καλοῦσιν. Ἔχει δὲ μέταλλα χρυσοῦ καὶ λίθους δὲ παντοίους, Ἐξυπερπλέον μᾶλλον δὲ τὸν πράσινον (sic codex, quod frustra mutare vult editor) τὸν λίθον. Stipantur comparandi adverbia ἐξυπερπλέον μᾶλλον ut μᾶλλον πλέον Proleg. 927, et infra v. 124. Est ἐξυπερπλέον hyperbolicum valde. In compositione est ubi ἐξυπερ facit auxesin.

(96) A, ἐγνώκει δέ. B C, ἐγνώκεις καί. In Chiliade 5, 758, δὲ et καὶ male sunt simul recepta, conjunctionum alterutra de sede pellenda: φαρμακουργὸς δὲ καὶ φαρμακεὺς καὶ φαρμακὸς διοίσει. Ad Epistolam Philostrati 43, proposui rescribendum φαρμακ. καὶ φαρμακεύς· codex a quo standum, φαρμ. δὲ, φαρμ. Theognis hoc orditur elegias disticho: Ὦ ἄνα, Λητοῦς υἱὲ, Διὸς τέκος. οὔ ποτε σεῖο Λήσομαι ἀρχόμενος, οὐδ' ἀποπαυόμενος. Forsitan inserendum καὶ ut cæsura roboretur, κοὐδ' ἀποπαυόμενος. Sed intervallum inter ordines vitium, si quid inest, attenuat. His scriptis consulo Friedemannum De media syllaba qui, hoc versu recitato, quamvis correctionis viam præclusam videri pronunciat. Quidquid sit, ἃ γέγραφα γέγραφα. Eumdem percurrens librum, pentametros nonnullos biantes tentabo, ac primum huncce Arsenii: Ἕκτορ ἄν ἀντ' ἔμεθεν ἤλυθες εἰς ἀΐδην. Pronuntiandum puto ἔμεθεν νήλυθες, quod jam faciendum in aliis versibus monui alibi. Ignatius sic editus est: Ἴλαθι, ἴλαθί μοι ὄμματι εὐμενέϊ. Propono substitui βλέμματι. Idem Πάντα λιπὼν βιοτοῦ ὅσσαπερ εἶχε θεῷ. Et hic proponam synonymorum emendationem: πάντα βίου λείπων, vel πάντα λιπὼν ζωῆς. Sed omittendus plerumque talium conjecturarum labor, quæ incertæ sunt omnino, quum mora, quæ fit in ordinis fine, idoneam det peccati excusationem. Mendosior est hiatus nec ferendus in Christo Patiente v. 117: Καινὸν δὲ πίνειν αἷμα ὑπ' ἀνέρων θεοῦ. Syllabæ μα ὑπ' ἀ dant anapæstum quartæ sedi, pedem trisyllabum poetæ qui pedibus utitur disyllabis. Billyana recte habet αἷμ' ὑπ' ἀνέρων, pedem disyllabum, eumque legitimum iambum, quum prima in ἀνέρων omnino producatur. Ceterum concinnitatis metricæ cura auctorem ipsum non sollicitabat, cui plerumque syllabarum numerus lex una fuit. Sed qui legem metricam negligit, grammaticæ paret; neque scripsit ipse εἰργαστέον, quod nunc legitur v. 741: Ὠμοξά θ' οἷον ἔργον ἐστ' εἰργαστέον Τοὐντεῦθεν αὐτοῖς. Olim edidit Billyus ἐργαστέον rectissime, ac sic esse video in codice 2707, non nitidissime quidem, indubie tamen; nec habuit aliud Euripides Medea 778, quem, ut solet, descripsit poetaster ille christianus.

(97) Il. 23, 277. B, ἀθανάτους γε τούς.

(100) C, θάλασσα.

(101) B, ἀρράβων. Ita scribenti librario contradicit Tzetzes ad P, 79. A, τῆς π.

(102) Il. 23, 292. Προεγράφη Υ, 395.

(103) Il. 23, 299. C, νῦν κυωνίω,

« Ὁ Ζεὺς καὶ Ποσειδάων » δὲ πάλιν, ἐν Ἀντιλόχῳ
ὁ λογισμὸς καὶ ὁ θυμὸς ὁ προσφυὴς καὶ πρέπων·
τουτέστι « Σὺ καὶ φρόνιμος καὶ τολμηρὸς ὑπάρχεις ».
Ἀρείων ὁ Ἀδράστου δὲ ἵππος ἦν θεῖος γένος,
ὡς οἱ Πηλέως ἄριστοι ἄθλοις λαμβάνειν ἆθλα.
« Ἀντίθεον δὲ Φοίνικα » φρόνιμον ἀληθῆ τε,
ἴσον αὐτῷ τῷ λογισμῷ καὶ τῇ δικαιοσύνῃ.
Ἀπόλλων, νῦν ὁ ἥλιος, βλάπτει τὸν Διομήδην,
κατ' ὀφθαλμῶν ἐπαφιεὶς τὸ σέλας τῶν ἀκτίνων.
« Ἡ Ἀθηνᾶ » δ' ἡ φρόνησις νῦν καὶ ἡ πανουργία,
ἡ Διομήδην σώζει μέν, τὸν Εὔμηλον δὲ βλάπτει·
ἡ Διομήδους φρόνησις, λέγω, καὶ πανουργία·
ἡ Διομήδην φρόνημα ἔσωσε τὸ οἰκεῖον,
τῷ μὴ σκοπεῖν τὸ δέον δὲ ὁ Εὔμηλος ἐϐλάϐη.
Τὸ ἅρμα γὰρ κατέαξε τόποις ἐλῶν δυσϐάτοις.
Τὸ « ὤφειλεν ὁ Εὔμηλος εὔχεσθαι ἀθανάτοις »,
ἔδει σκοπεῖν τε καὶ φρονεῖν ὅπως ἐλαύνει, λέγει.
« Σοὶ δὲ θεοὶ ἀντίχαριν » ἤτοι ἡ εἱμαρμένη.
Ἡ Ὀδυσσέως Ἀθηνᾶ πάλιν ἡ πανουργία.
« Ἀθάνατοι τιμῶσι παλαιοτέρους ἀνθρώπους ».
Νῦν καὶ ἡ εἱμαρμένη μέν, ἀλλὰ καὶ μᾶλλον πλέον

relicta lacuna. Mutilum hemistichium respicit verba Homeri: ναῖεν δ' ὅγ' ἐν εὐρυχόρῳ Σικυῶνι. Periit saltem versus unus.

(105) A, τρέπων. Cf. Il. 24, 307.

(106) A. τουτέτι.

(107) Il. 23, 346. A, ἀρίων. C, ἀρειείων. B C, θεῖον.

(108) A, Πηλεύς. C, οἱ π. ἄριστος. Fortasse, ὡς οἱ π ἄριστοι respecta ad Il. 23, 278.

(109,110) Il. 23, 360. Fortasse ἴσον θεοῖς τῷ, vel facilius αὐτοῦ.

(111) Il 23, 383. B, sine δ.

(113) Il. 23, 388... A B, ἦν pro νῦν.

(114,115) Non sunt in B.

(116) C, βλάπτῃ τ. Διομήδῃ.

(117) C, τὸ μή.

(118) A, ἐλών. B, ἐλών C, ἐλῶν.

(119) Il. 23, 546.

(120) A, ὅπερ ἐλαύνει λέγων. B, ὅπερ ἐλαύνειν λέγει. C, ὅπως ἐλαύνει. Mea lectio ἐλῶν superius v. 118 est pro ἐλαύνων.

(121) Il. 23, 650.

(122) Il. 23, 771.

(123) Il. 23, 788.

(124) B, sine ἡ. Duplicem compara-

ἡ φρόνησις, σὺν ταύτῃ τε πραγμάτων ἐμπειρία.
Ὁ Τεῦκρος ταῖς ἀκτίνεσσιν ἐβλάβη τοῦ ἡλίου·
διό φησι μὴ εὔξασθαι Ἀπόλλωνι ἄνακτι,
καὶ πάλιν ὡς ἐμέγηρεν ἐκείνῳ ὁ Ἀπόλλων.

tionem μᾶλλον πλέον jam vidimus. Cf. superius n. ad v. 94.

(125) A, ἡ φρον, συντάττεται. B, δὲ. C, τε.

(127) Il. 23, 863.

(128) Il. 23, 865. — Quum videatur pagina vacua nimis ac nudior, ineditum addam locum ex Georgidæ Gnomologii codice pleniore, quo jam sum usus: Βαβρίου. Γινομένης ἐχθρῶν ἐπαναστάσεως, οἱ μὲν πένητες, εὐπρόφοροι καὶ εὐσταλεῖς ὄντες, εὐκόλως μεταβαίνουσιν· οἱ δὲ πλούσιοι, διὰ τὴν τῶν ὑπαρχόντων βαρυφέρειαν, χειροῦνται ἐχθροῖς. Est epimythium Fabulæ Babrii 36, a recentiore homine scriptum. Anonymam ejus lem codicis sententiam habeo pro epimythio Fabulæ Babrii 86: γαστέρα ὄγκον ἔχουσαν ἡ λεπτὴ χωρεῖν εἴσοδος οὐ δύναται.

ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Ω (*).

Ζεὺς Ἕκτορος κηδόμενος Θέτιν πρὸς Ἀχιλέα,
Ἶριν δὲ πρὸς τὸν Πρίαμον στέλλει, κελεύσας λέξαι
τὴν μὲν ὡς δοίη Ἀχιλεὺς τὸν Ἕκτορα Πριάμῳ,
Ἶριν δ' ὡς λύτρα Πρίαμος τῷ Ἀχιλεῖ κομίσοι,
καὶ λάβοι σῶμα Ἕκτορος κομίσει τε πρὸς Τροίαν.
Εἶτα φανεὶς καὶ ὁ Ἑρμῆς τὸν Πρίαμον προπέμπει,
κοιμίσας τε τοὺς φύλακας, ἄγει πρὸς Ἀχιλέα,
ὃν ἱκετεύσας Πρίαμος τὸν Ἕκτορα λαμβάνει.
Κομίσας Τροίᾳ θάπτει δέ, πένθος ποιήσας μέγα,
εἶτα δὲ καὶ περίδειπνον παρήγορον τοῦ πένθους.

(*) Lemma in B, ἀρχὴ τῆς Χ Ὁμήρου ῥαψῳδίας. A C sine lemmate.

(1, 10) Desunt in A B. Relictum est in A, ante Ὅπως Ἀπόλλων..., spatium vacuum, septem capax versuum, numero æstimato ex comparatione spatii in opposita columna utraque. In codice Scorialensi apud Millerum, Catalogo p. 30, primus libri versus sic exhibetur: Ζεὺς Ἕκτορος κηδόμενος θεὰς πρὸς Ἀχιλλέα. Matrangæ editio, qua tandem possum uti, beneficio ejusdem Milleri, quo humaniorem, officiosiorem novi neminem, diversum omnino præbet exordium: Ὁ Ζεὺς φροντίζων Ἕκτορος τοῦ ἥρωος ἐκείνου, Τὴν Θέτιν πέμπει πρὸς υἱὸν τὸν Ἀχιλέα ταύτης, Ὡς ἀποδῷ τοῦ ἥρωος τὸ σῶμα τῷ Πριάμῳ. Τὴν Ἶριν δὲ πρὸς Πρίαμον ὁ Ζεὺς ἐξαποστέλλει, Ὡς διὰ δώρων τὸν νεκρὸν τοῦ Ἕκτορος ἐκλάβῃ. Πρίαμος δὲ πρὸς τὴν σκηνὴν πεμφθεὶς τοῦ Ἀχιλέως, Ὑπὸ Ἑρμοῦ κοιμήσαντος φύλακας τῶν Ἑλλήνων, Καὶ δοὺς αὐτῷ τὰ δῶρα δὲ καὶ τοῦτον ἱκετεύσας, Ἀπολαμβάνει τὸν υἱόν· κομίσας δ' εἰς τὴν πόλιν, Θάψας, τὸν ἐπιτάφιον δεῖπνον κατασκευάζει. Αὕτη δὲ ἡ ὑπόθεσις ἐστὶν Ω τοῦ μεγάλου. Alterum exordium, Ζεὺς Ἕκτορος κηδ., inter variantes lectiones recepit.

(3) C, Πριάμου.

(10) Scholium in M, id est in Matrangiana editione p. 746: περίδειπνόν ἐστιν τὸ ἐπὶ τοῖς τελευτῶσι γινόμενον δεῖπνον, ὃ παρ' ἰδιώταις παρηγορία καλεῖται.

Ὅπως Ἀπόλλων Ἕκτορα ἐφρούρει τῶν ἀσήπτων,
καὶ τίς Ἀπόλλων ; πολλαχοῦ καὶ ἐν τῇ Ψῖ εἰρήκειν
ὡς ὁ Ἀπόλλων, ἥλιος ἦν συννεφὴς τῷ τότε.
Ἡ δὲ « χρυσῆ αἰγίς » ἐστιν ἀκτῖνες τῶν τιμίων,
ἤτοι ἀκτῖνες εὔκρατοι νέφεσι κεκραμέναι.
Θεοὺς δὲ κατοικτείροντας τὸν Ἕκτορα ῥητέον,
καὶ τίς Ἑρμῆς ὃν ὤτρυνον Ἕκτορος κλέπτειν σῶμα.
Θεοὺς νῦν τὰ στοιχεῖα μοι νόησον τῇδε λέγειν.
Ἐφ' ὅλαις ἕνδεκα καὶ γὰρ ἡμέραις συνεχεῖτο,
ὥσπερ ἐπιστυγνάζοντα τοῦ Ἕκτορος τῷ πάθει·
κἀν γῇ, κἀν τοῖς φωστῆρσι δὲ συνέβαινε μυρία

(12) A, τῇ ψ. B, τῇ σῇ. Cf. Ψ, 33, 47, 61.
(14) Il. 24, 20.
(15) C, κεκραμμέναι.
(16) Il. 24, 33.
(17) Il. 24, 24. A B, ὤτρυνεν. Cf. v. 34.
(19) Cf. Il. 24, 107.
(20) In C non potest legi, quem charta bibliopegus inepte operuit.
(21) A, καὶ τοῖς φ. συνέβ B, τε. C, δέ. Sæpe potuit in hisce codicibus lector animadvertere permutatas conjunctiones δὲ τέ. Deipara in Χριστῷ πάσχοντι v. 472: Γυναῖκες, ὄψιν στυγνὰν ὡς εἶδον τέκνου, Πόθῳ τεθνάναι ζῆν δ' ἔτ' οὐδαμῶς φέρω. Est in codice ζῆν τ' ἔτ'. Quod fere malim. Sed versus prioris sunt numeri pessimi propter spondæum quartæ sedis. Transpositionis medicina facilis ac bona: Στυγνάν, γυναῖκες, ὄψιν ὡς εἶδον τέκνου. Pari vitio laborat v. 695: Γυναῖκες, ὄψιν φαιδρὰν οὐχ ὁρῶ τέκνου. Melior est earumdem vocum ordo v. 869: Γυναῖκες, ὄψιν οὐχ ὁρῶ φαιδρὰν τέκνου. Malim etiam ut supra primæ sedis spondæum: Φαιδράν, γυναῖκες, ὄψιν οὐχ ὁρῶ τέκνου. Transpositionis poetastro recentiori medelam adhibebo. In poemate De rebus gestis Equitum Mensæ Rotundæ, v. 134, Arthurus rex, indigne ferens quod ignotus senecio juvenes fortissimos, Equitatus florem, Lancelotum, Tristanum, Palamedem, humi ferme ludens prostravisset, Ἀνακαχλάζει τῷ θυμῷ. Καλέσας δὲ τοὺς παρ' αὐτῷ, τὴν πανοπλίαν αἱρεῖ. Peccavit in clausula librarius. Transpono, αἱρεῖ τὴν πανοπλίαν. Sed melius παν. αἱρεῖ. tono transposito. Arthuri conjux illum ab incepto detinere conatur, cui rex more modoque Hectoris Homerici, ἄπιθι, sit, Γυναικωνῖτιν εὐπρεπῶς κοσμοῦσα καὶ παιδίσκας. Tum regina dolens: Παῖεν χερσὶ τὰς παρειάς, τὰς τρίχας ἐξέτιλλε. Et hic transponenda ultima verba, ἐξέτιλλε τὰς τρίχας. Sed quum in notula moneatur lector esse in ipso codice πέει, rescribendam παίει, eodem sono, idque ocyus; nam παῖεν sine augmento non ferendum est. In fine etiam codex exhibet ἐξοτείλη, barbare, sed τείλη græco more pronunciatum fit τίλλει, tunc adjuncta præpositione nascitur verbum rei congruens et hemistichio, τὰς τρίχας ἀποτίλλει. Augmentum restituendum et v. 139: Ἄπιθι, φάσκεν πρὸς αὐτήν, μηκέτι φθεγγομένη. Invenit editor doctissimus, ἄπειθι φάσκει, ac bene correcta priore voce alteram male corrupit. Reponendum φάσκει. Frustra pro suppresso augmento afferretur ῥέεν, ποίησε ex Tzetzæ Homericis Allegoriis Σ, 540, 706, quum his locis Tzetzes Homericas ipsas voces exhibuerit. Iterum chorda oberrans

σεισμοὶ καὶ βόμβοι, μυκηθμοί, καὶ κρύψεις τῶν ἀστέρων,
βρονταὶ σκληραὶ καὶ κεραυνοί, δειναί τε καταιγίδες,
ἀστέρες διατρέχοντες, κομῆται, καὶ τοιάδε.
Τὰ κομητῶν δὲ σύμπαντα, καὶ πᾶν ἄλλο τοιόνδε,
Ἀρεϊκὰ καὶ τοῦ Ἑρμοῦ τυγχάνουσιν ἀστέρος,
ἅπερ εἰ ἐπεκράτησε καὶ ἔτι περαιτέρω
ἔκλεψαν ἂν τὸν Ἕκτορα τινὲς ἐξ Ἀχιλλέως,
καὶ τῷ πατρὶ δεδώκασι Πριάμῳ τοῦτον θάπτειν·
τὰ τοῦ Ἑρμοῦ πνευμάτων γὰρ δηλωτικὰ τυγχάνει
καὶ ἐμπορίας συνεργὰ καὶ ἄλλων δὲ μυρίων,
πολλάκις καὶ ἐκκλέπτουσι δεσμώτας κακουμένους.

eadem editor φάσκεν obtrudit poetastro suo v. 267 : Ὁ πρέσβυς δ' ἦλθεν παρ' αὐτούς, χαίρειν φάσκεν ἱππότας, Ἀντίχαιρε δεξάμενος, non celans codicis scripturam παρ' αὐτοῖς, quod potuit relinqui, et χαίρεται φασκιππότας, quod lego χαίρετε, φάς, ἱππόται, ut dixi pag. 317. Solennis permutatio vocalium αι ε ad χαίρετε omnino ducit, et participia φὰς δεξάμενος sic soluta narrationis celeritatem adjuvant. Hanc bene noverat editor, qui scripsit v. 231 : Ἀμείβεται, Μὴ μέμφεσθε τόδ' ἐμοῦ τὸ πρακτέον. Invenerat in codice, μέμφεσθαι τῷ δεμου τῷ πρακτέον. Correctionem perficiam proponens, τόδε μου τὸ πρ. Est τὸ πρακτέον pro τὸ πραχθέν, τὸ πραττόμενον. Ignatius Adamo v. 111: Οὐκοῦν τὸ κέρδος εἰσδέχου τῶν πρακτέων. Ibi nota in Anecdotis meis Gr. t. 1, p. 441. Poeta in hoc πεντεκαιδεκασυλλάβῳ metro elegantissimus poemate κατανυκτικῷ ibid. t. 4, p. 444 : Ὦ! πῶς σοι παραστήσομαι; πῶς τῶν πρακτέων λόγον Παρασχῶ σοι τῷ πλάστῃ μου; Σῶσον, ὡς οἶδας, σῶσον. Est et ibi nota, qua male tentabam τουτωνὶ in versu Joannis Diaconi.

(22) C, κρύψας.

(23) C, βρονταὶ... βρονταί τε κατ.

(25) C, κομιτῶν, permutante iotacismo vocales η ι. Theodorus Prodromus versibus in adventum imperatricis Irenes, de qua videatur nota superius p. 1, et Mattangæ Anecdota t. 1, p. 11, ubi et de Theodori poemate utilia monuit, quod apud ipsum integrum legesis p. 532; Theodorus igitur, cujus unum tangere lubet versum emendatiunculæ causa, imperatorem sponsum celebrans ait : Τοῖς δούλοις χεῖρα πάντοτε προτείνεις πλουτοδότην. Scribendum πλουτοδότιν, quo vocabulo usus est Michael Choniates Athenarum Metropolita Panegyrico Isaacii Angeli quem edidit Tafelius vir doct. Tubingæ a. 1846; Choniates igitur § 5 : Ἀχρήματος ἡ πόλις (Ἀθῆναι) καὶ πενιχρά, καὶ τοῦ κύκλου διαγραφῇ καὶ τῶν πολιτῶν, καὶ παράπαν ἀφανισθῆναι κινδυνεύουσα, εἰ μὴ νῦν ἀνενέγκοι μικρὸν καὶ συλλέξοι πνεῦμα παρὰ τῆς σῆς μεγαλουργοῦ καὶ πλουτοδότιδος ἀναλαμβανομένη δεξιᾶς.

(26) A, ἀρρεικά. Cf. v. 170.

(27) A, ὑπεκράτησε... παραιτέρω. B M, ἐπικράτησε.

(32) A, ἐκλέπτουσι. A, δεσμώτας καλουμένους. B, δεσμώτας κακωμένους. C, δεσμῶ τὰς κακουμένας, scripto ους super ας. M, δεσμῶ τοὺς κακουμένους, et in varietate π. γὰρ κλέπτουσι καὶ δεσμώτας.

τοῦτο ὁ Ὅμηρος φησὶ τοῖς ἔπεσιν οἷς λέγει·
« Κλέψαι δ' ὀτρύνεσκον εὔσκοπον Ἀργειφόντην ». ·
Τοὺς ἓξ ὀβελιστέον δὲ τοὺς μετὰ τοῦτον στίχους·
μετὰ τὸ « κλέψαι δ' ὤτρυνον εὔσκοπον Ἀργειφόντην »,
Ἀλλ' ὅτε δωδεκάτη μὲν, λέγει, ἠὼς ἐφάνη,
« καὶ τότ' ἄρ' ἀθανάτοισι μετηύδα Φοῖβος Ἀπόλλων·
« Σχέτλιοι ἐστὲ, θεοί, δηλήμονες. Οὔ νύ ποθ' ὑμῖν
« Ἕκτωρ μηρί' ἔκηε βοῶν, αἰγῶν τε τελείων »;
Πρὸς ἕνδεκα ἡμέρας μὲν ἦν ζάλη τῶν στοιχείων,
καὶ ἥλιος οὐκ ἔφαινε τὸ πρότερον οὐδόλως.
Ἐπὶ τῇ δωδεκάτῃ δὲ ἥλιος μὲν ἐφάνη·
τὸ τοῦ ἀέρος δὲ λεπτὸν ἀντέτεινεν ἐκείνῳ,
νέφη κινοῦν καὶ μερικῶς κρύπτον ἀκτῖνας τούτου,
ὁ ζωογόνος δὲ ἀὴρ, Ζεὺς, παχυνθεὶς ἐς πλέον
τῷ λεπτοτέρῳ καὶ θερμῷ ἀντέτεινεν ἀέρι,
καὶ νέφος δὲ συνέστησεν ἔνυδρον, πάχους πλέον,
ᾧ προσβαλὼν ὁ ἥλιος ἐποίησε τὴν Ἶριν·
ἡ δ' Ἶρις ἀνερρόφησεν ὑγρὸν ἐκ τοῦ πελάγους
τοσοῦτον, ὥστε φαίνεσθαι τὸν πρόσγειον ἀέρα,
τῆς ἀσελήνου τῆς νυκτὸς μελάντερον ἐς πλέον·
ὃ ὕδωρ τότε ἀνεχθὲν τῷ μὲν λεπτῷ ἀέρι
πρῶτα κινούμενον μικρὸν, ἀραιωθὲν ἐφάνη·
εἶτα, τῷ πλήθει πάχει τε πλέον λαβὸν τὸ βάρος,

(34) Il. 24, 24. ABCM, ὀτρύν. M, σκεν.
(36) A B C M, ἐΰσκοπον. Scripsi εὔσκοπον. Est enim metrum politicum. Tzetzes ait post versum Homeri 24, Κλέψαι, ὀβελισθέντων στίχων ἕξ, sequi Ἀλλ' ὅτε... versum scilicet 31. M, ὔμμιν.
(41) A B, ἡμέραις. C M, ἡμέρας.
(42) C, ἔφανε.
(43) A B C, ἐπεί. Correxeram ἐπί, quod nunc reperio in M. B, γάρ. A C M, δέ.
(44) A B, ἀνέτεινεν. C, ἀντέτεινεν. M, ἀνέτειλεν.
(45) M, κρύπτων.
(48) A B, συνέδησεν. C M, συνέστησεν. M, ἔνυγρον πάχος πλέον.
(52) De duplici articulo p. 250.
(53) C sine τοτε. A, ἀνειχθέν. Sunt ionicæ formæ non exspectatæ. B, ἀνεχθέν. M, συναχθέν. C, τιναχθέν.
(55) A B, λαβών.

ῥαγδαῖος ὄμβρος γίνεται καὶ καταχεῖται κάτω.
Νῦν, προσωποποιήσας σοι ὁ Ὅμηρος τὰ πάντα,
τὸν ἥλιον Ἀπόλλωνα Φοῖβον κατονομάζει
θεοῖς καταμεμφόμενον, τουτέστι τοῖς στοιχείοις,
ἀνθ' ὧν θεοσεβέστατον Ἕκτορα πεφυκότα
οὐδὲ θανόντα ῥύονται τοῦ ἀπηνοῦς Πηλείδου.
Τὸ τοῦ ἀέρος δὲ λεπτὸν Ἥραν καλεῖ τῇ κλήσει,
καὶ ἀντιπίπτουσαν αὐτῷ ταύτην σοι παρεισφέρει,
τῷ συγκαλύπτειν μερικῶς ἐκείνου τὰς ἀκτῖνας·
ὅπερ καὶ λόγους πλάττει σοι τῆς Ἥρας πεφυκέναι
λεγούσης « γυναῖκα μαστὸν » τὸν Ἕκτωρα θηλάσαι,
ἤτοι θνητὸν θηλάσαντα μαστὸν τὸν γυναικεῖον,
τὸν δ' Ἀχιλέα Θέτιδος παῖδα θεᾶς ὑπάρχειν,
γενναῖόν τε καὶ θυμικὸν, ὡς παῖδα τῆς θαλάσσης·
ἣν Θέτιν Ἥρα ἔθρεψε καὶ τῷ Πηλεῖ συνῆψε,
« ὃς περὶ κῆρι φίλτατος » πᾶσι θεοῖς ὑπῆρχεν·
οὗπερ τοῖς γάμοις οἱ θεοὶ πάντες ὑπῆρχον τότε,
καὶ ὁ Ἀπόλλων δὲ αὐτὸς φόρμιγγι κεχρημένος.
Πῶς δὲ ἡ Ἥρα ἔθρεψε τὴν Θέτιν νῦν ῥητέον.
Τὸ τοῦ ἀέρος πρὶν λεπτὸν, ὃ καὶ Ἡφαίστου μήτηρ,
συγκεχυμένου τοῦ παντὸς ἐν τῇ κοσμογενείᾳ,
κινούμενον διέκρινε, καὶ φιλικῶς συνῆψεν
ὁμοῦ τὴν γῆν, τὴν θάλασσαν, τὴν Θέτιν, τὸν Πηλέα,

(56) M, καταχεῖται.
(58) Il. 24, 32.
(61) Il. 24, 35. A, ἀπεινοῦς Πηλείδους.
(62) Homerus καλεῖ. Il. 24, 55.
(63) A sine αὐτῷ.
(66) C M, γυναικός. A B, γυναῖκα, ut Il. 24, 58. B C M. μαστόν· A, μασθον. Et sic v. seq. De qua varietate ad Aristarn. p. 276.
(67) B, τῶν γυναικείων.
(69) M, γενναῖον δέ. A B, καὶ παῖδα. C M, ὡς π., permutatione frequente.
(70) A M, θέτην. Et sic A, 74.
(71) Il. 24, 61.
(72,73) Cf. Il. 24, 62, 63. A, τοὺς γάμους.
(77) M, διήρθρωσε.
(78) C M, γῆν καὶ θ. Placuit cum A B symmetria articulorum. A, θέτην.

ὃς ἐκ ψυχῆς ἐστέργετο πᾶσι τοῖς ἀθανάτοις.
Εἰ μὴ γὰρ πάντων γέγονε σύγκρασις τῶν στοιχείων,
οὐκ ἂν ὁ κόσμος, ὁ Πηλεὺς, τὸ σύνολον ὑπέστη.
Οὕτω καὶ τὸ λεπτότερον ἀέρος Ἥραν εἶπε.
Τὸ δὲ παχυμερέστερον ἀέρος πάλιν λέγει,
ἀφ' οὗ ἡ Ἶρις γέγονεν, ἐκ ταύτης δὲ ὁ ὄμβρος,
Δία τὴ Ἶριν πέμψαντα τὴν Θέτιδα καλέσαι.
Τὸ μέλαν νέφος Θέτιδος μελαμφορίαν λέγει,
καὶ πρὸς θεοὺς ἀνέλευσιν · τὴν πύκνωσιν δ' ἀέρος
Ἀθήνης ὑποχώρησιν ἐστὶ κατονομάζων
καὶ σὺν Διῒ τῆς Θέτιδος λέγει δὲ συνεδρίαν ·
τὸ λεπτυνθῆναι δὲ βραχὺ κεράσματα τῆς Ἥρας·
τὸ πάλιν παχυνθῆναι δὲ τὸ νέφος ὡς και πρώτην,
καὶ κρύψαι τὸ λεπτομερὲς ἀέρος καὶ πυρῶδες
πιοῦσαν λέγει Θέτιδα Ἥρᾳ ποτῆρα δοῦναι.
Τὸ ὄμβρον γεγονέναι δὲ καὶ καταρρεῦσαι κάτω
Διός φησιν ἀποστολὴν ὡς πρὸς τὸν Ἀχιλέα,
μηνύσαντος τὸν Ἕκτορα πωλῆσαι τῷ Πριάμῳ,
καὶ γῆν κωφὴν τε καὶ νεκρὸν ἔτι μὴ καταικίζειν.
Ἐκ τῆς συγχύσεως καὶ γὰρ, καὶ τῶν ῥαγδαίων ὄμβρων
καὶ Ἀχιλεὺς ἐπέγνωκεν ὃ δέον ἦν γενέσθαι,
τὸ ἀποδοῦναι τῷ πατρὶ τὸν Ἕκτορα τοῖς δώροις·
καθάπερ καὶ ὁ Πρίαμος ἐκ νεφελώδους τόξου
τὸ ἀπελθεῖν ἐπέγνωκεν αὐτὸν πρὸς τὸν Πηλέως

(79) A B, ἐν ψυχαῖς. C M, ἐκ ψυχῆς.
(81) Ὁ Πηλεὺς. Cf. Σ, 551.
(82) M, εἶπεν. C, λέγει.
(84) C, ἀφ' οὗ, A B M, ὑφ' οὗ.
(85) A, διά.
(86,87) Il. 24, 93, 96
(88) M, ἔτι
(89) B, δὲ λέγει.
(90) A B M, κεράσματι. Cf. Il. 24, 101.
(93) Il. 24, 102. M, Ἥραν, est et Ἥρᾳ inter variantes.
(96) A, μυνήσαντος. Il. 24, 115, 116.
(102) A, ἀπέγνωκεν.

εἶναι συμφέρον καὶ καλὸν, ὠνεῖσθαί τε τὸν παῖδα.
Τῆς γὰρ πορείας καταρχὴν τότε πεποιημένος,
καὶ ἑρμηνέα προηγὸν εὗρεν ὁδοιπορίας.
Καὶ Ἀχιλέως εὐτυχῶν οἰκτείροντος ἐκεῖνον,
λύτροις λαβὼν τὸν Ἕκτορα, φέρει πρὸς τὴν πατρίδα.
Ἡ Θέτιδος κατέλευσις ἡ πρὸς τὸν Ἀχιλέα
καὶ τἄλλα σοι ἐρρήθησαν· ἄρτι δὲ δέον λέγειν
τίς ὁ χειρὸς ὁμαλισμὸς καὶ ἡ παρηγορία,
καὶ πῶς ἐκείνῳ γυναικὶ μίσγεσθαι Θέτις λέγει.
Ὁ Ἀχιλεὺς τὴν σύγχυσιν ἰδὼν τὴν τῶν στοιχείων,
καὶ τὸν ῥαγδαῖον ὑετὸν τὸν τότε γεγονότα,
ὅνπερ καὶ Θέτιν Ὅμηρος τούτου μητέρα λέγει
δι' ἃς αἰτίας προλαβὼν εἰρήκειν σοι πολλάκις·
οὕτω σὺν ἄλλοις κατιδὼν καὶ τὸν τοσοῦτον ὄμβρον
ὃν ἐκ Διὸς ἀποστολὴν τῆς Θέτιδος εἰρήκει,
καὶ συνεικὼς δι' Ἕκτορα γίνεσθαι ταῦτα πάντα,
αὐτὸς αὐτῷ συντίθεται τοῦτον μὲν ἐμπολῆσαι,

(104) A, τῆς γὰρ πορνείας, cum duobus punctis super ν, signo delendi. B, τῆς γὰρ πορει, sic. C, τὴν (superscripto ης) γὰρ πορείας κατ' ἀρχήν. M, τὴν γὰρ πορείαν κατ' ἀρχήν. A B, κατ· ἀρχην.

(105) C, προῆγον. M, προδηγόν, cum variantibus προῆγον ὁδηγόν. Nomina sunt ignota προδηγὸς, προηγὸς, illud quoque barbarum. Accentus in προῆγον codicis C et Vaticani apud Matrangam metrum lædit. Accentus penultimæ in clausula prioris hemistichii vitium est, in posterioris autem clausula est normalis. Inde patet Tzetzæ versum 415 Chiliade 12 in mendo cubare: Ὀκτώ φασι τοῦ οὐρανοῦ τὰς σφαίρας, τὰς καὶ ζώνας, Τὴν ἀπλανῆ καὶ ἄναστρον, καὶ τῶν ἑπτὰ πλανητῶν. Rescribendum ex C πλανήτων, qui genitivus erit nominis πλάνης, rejecto πλανητῶν, genitivo nominis πλανήτης. In altero ordo vocabulorum τὰς καὶ ζώνας quid velit monstrat n. ad Γ, 189. C, τὲ pro καὶ.

(106) B C M, ἐντυχών. B, οἰκτείραντος. C, οἰκτίρμονος, superscripto ειροντος, ἐκείνω. Non potest ἐντυχὼν strui cum genitivo. A bene εὐτυχών.

(109) A B, ἐρέθησαν. M, ἐρρέθησαν. C, ἐρρήθησαν.

(110) Il. 24, 127.

(111) C, μίγεσθαι. Il. 24, 130.

(112) B, ἀστέρων.

(116) B, οὕτως σύν,

(117) A, εἰρήκειν. Referam ad Homerum εἰρήκει, quod tenent B C M.

(118) A B M, συνειδώς.

(119) A B C, αὐτῶ. Scripsi αὐτῷ, et sic nunc esse video in M. Rarissime codices A B C id pronomen asperant.

ἄνπερ ἐξωνησάμενος τὶς ἐκ τῶν Τρώων ἔλθοι,
σκοπήσας δὲ καὶ δι᾽ αὐτὸν ὅτι πολλὰ δακρύσας
νεκρὸν ἐγεῖραι Πάτροκλον οὐκ ἴσχυσεν οὐδόλως,
αὐτὸς δὲ θλίψει τρύχεται καὶ πόνοις ἀνενδότοις.
Καὶ τότε καὶ βραχύχρονος εἶναι τῷ βίῳ μέλλων
ποιεῖ ὅπερ καὶ ὕστερον Ἀρχίλοχος ἐκεῖνος.
Σφῆς ἀδελφῆς γὰρ σύζυγον πνιγέντα τῇ θαλάσσῃ
περιπαθῶς ὠδύρετο, γράφειν μὴ θέλων ὅλως,
λέγων πρὸς τοὺς βιάζοντας συγγράμμασιν ἐγκύπτειν·
« Καί μ᾽ οὔτ᾽ ἰάμβων οὔτε τερπωλέων μέλει »·
ὡς δὲ δακρύων κέκμηκε μάτην, εἴρηκε τάδε·
« Οὔτε τι γὰρ κλαίων ἰήσομαι, οὔτε κακίον
« θήσω τερπωλὰς καὶ θαλίαν ἐφέπων ».
Καὶ ταῦτ᾽ εἰπών, ἐξώρμησε πρὸς τὴν πλατεῖαν τρίβον.
Οὕτω πρὸ τούτου Ἀχιλεύς, καμὼν Πατρόκλου θρήνοις,
παρηγορεῖ τε ἑαυτὸν καὶ ὥσπερ ὁμαλίζει,
κἀκ τῆς σκληρᾶς δὲ πράξεως θρήνων τραπεὶς καὶ γόων
ὡς πρὸς τὸ μαλακώτερον καὶ τρυφερὸν ἐτράπη,
καὶ γυναιξὶ μιγνύμενος, καὶ πάντα δρῶν τὰ πρώην.
Ἐπεὶ δὲ τὸ χειμέριον κατάστημα τοῦ χρόνου

(121) M, ἐξωνησάμενος.
(122) A B, νεκρῶν, nec male subaudito ἐκ. Phrasis est N. T. ἐγείρειν ἐκ νεκρῶν. Sed potest νεκρῶν non esse aliamve vera lectionem, sed error pronunciationis, ω et ο de more permutantis.
(128) B, sine τούς.
(129) Ineditus adhuc, ut videtur, Archilochi versus. A B, μέλλει. Sæpe confusa verba μέλει, μέλλει, pronunciatione vulgari alterum lambda negligente. Arsenius Violeto, p. 104, de Anaxagora : πρὸς τὸν εἰπόντα· « οὐδέν σοι μέλλει τῆς πατρίδος », ἔφη· « ἐμοὶ γὰρ καὶ σφόδρα μέλλει », δείξας τὸν οὐρανόν. In alio, eoque rarissimo, Arsenii libro, cujus lemma : « Præclara dicta philosophorum, etc. » (p. 41), est bis μέλλει. Diogenes Laertius, qui fons fuit Arsenio, libro 2, § 7, habet recte bis μέλει.
(130) A, μάτην εἶσο καὶ τάδε. B, εἴρηκε. C M. εἰρήκει.
(131,132) Fragmentum Archilochi 53 Liebelianæ. A B C M sine γάρ. A, κλάων. A B C M, οὔτε τι κακίον, versu longiore. A B C M, θάλειαν. Liebel. θαλίας. Codices secutus scripsi θαλίαν.
(135) A B, παρηγορεῖται.
(136) A B, τῆς ξηρᾶς.
(138) B, τοὺς πρώην.

πρὸς ἀφροδίσια κινεῖ τοὺς ἄνδρας ἐπὶ πλέον,
καθάπερ δὴ τὸ θέρινον ἐς πλέον τὰς γυναῖκας,
συγκεραννύον τὸ θερμὸν τὸ ἔνυγρον ἐκείνων,
ὡς τὸ ξηρὸν τὸ τῶν ἀνδρῶν τὸ ἔνυγρον χειμῶνος,
ὁ Ὅμηρος ὁ πάνσοφος, ἡ βρύσις τῶν Χαρίτων,
μὴ θέλων κομπολάκυθα τοῖς φυσικοῖς λαβράζειν,
ὡς οἱ μεταγενέστεροι καὶ μετὰ τοῦτον πάντες,
ἐν μυθικῇ γλυκύτητι τὸ φυσικὸν κεράσας,
Θέτις καθομαλίσασα τούτου, φησί, τὴν χεῖρα,
« Μίγνυσθαι » εἶπε « γυναιξὶ τῶν ἀγαθῶν ὑπάρχει ».
Ταυτὶ μὲν οὕτως ἔχουσιν, ἀλλὰ λοιπὸν λεκτέον.
Ἡ Ἶρις δὲ ἡ ἄγγελος ἡ ἐκ Διὸς Πριάμῳ
οὐκ ἄλλο πέφυκεν οὐδὲν ἢ νεφελῶδες τόξον,
ὅπερ φανὲν ἐξ οὐρανοῦ ὁ Πρίαμος ὡς εἶδεν
(ἦσαν οἰωνοσκόποι γὰρ καὶ ἀεροσκοποῦντες),
σημεῖον γνοὺς τῶν εὐτυχῶν εἰς καταρχὴν πραγμάτων
ἰδοὺ λοιπὸν κατάρχεται τῆς πρὸς τὸν Ἀχιλέα.
« Θεοειδής, ὡραῖος δὲ καθάπερ οἱ ἀστέρες·
Ἀντίθεον, ἰσόθεον, ἶσον θεῷ ταῖς μάχαις.

(144) Cf. n. ad Proleg. 51.
(146) A, καὶ οἱ μετ.
(147) A B, θυμικῇ.
(148) C M, καθομιλήσασα. In C, scripto α super μι. Homerus φησι Il. 24, 127. Cf. supra v. 110, 135. Fortasse, τῇ χειρί, φησί, τοῦτον. Homerus: χειρί τέ μιν κατέρεξεν.
(149) εἶπε Il. 24, 130: ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι Μίσγεσθαι. A B, ὑπάρχειν. Oratio directa in C M placuit magis.
(154) A B M, ἀστεροσκοποῦντες.
(156 M, οὐδ' οὐ λ. κ. τῆς. A, ἰδού... τοῖς. Vocabulum ἰδού ex hoc loco pellendum, fuit pessimo consilio pulsum ex poemate de Equitibus Mensæ Rotundæ v. 215: Τὴν κεφαλὴν ἐγύμνωσε τῆς κόρυθος ὁ πρεσβύς, Ἀπέθετο τὸν θώρακα, πᾶσαν τὴν πανοπλίαν, Καὶ πρὸς τὴν παῦλαν ἰδίου τρέπεται τοῦ σαρκίου. Hemistichium prius non potest nec παῦλαν nec ἰδίου in clausula habere, et correctio foret difficillima, ni editor, in hoc saltem diligens, adnotasset in codice esse ἀνὰ pro τὴν et ἰδοῦ. Jam recuperet poeta quod scripserat: Καὶ πρὸς ἀνάπαυλαν ἰδοὺ τρέπ. In proximo aliud est mendum: Εἴδοντες δὲ τὸν γεραιὸν λευκότριχον ἱππότην. Affert editor e codice εἰπόντες, quod melius mutasset in ἰδόντες.
(157) Epithetum est Priami Homericum θεοειδής. Cf. v. 229.
(158) Il. 24, 237. C M. ἶσον θυμῷ.

Θεὸν τὸν Ἕκτορα φησὶ, πῦρ πρὸς τοὺς ἐναντίους,
καὶ παῖδα τοῦτον δὲ θεοῦ, πυρὸς ἢ καὶ θαλάσσης,
δέος τε καὶ κατάπληξιν φέροντα πολεμίοις.
« Διί τε, καὶ Κρονίωνι κελαινεφεῖ » πάλιν,
« Ἰδαίῳ », οὐρανίῳ, νῦν τῇ Τρώων εἱμαρμένῃ·
« Διί » ὁμοίως πάλιν δὲ, ὡς καὶ τὸ « Ζεῦ », καὶ « Ζεὺς » δὲ,
ὁμοίως καὶ τὸ « Ζῆνα » δὲ τὴν εἱμαρμένην λέγει.
Ἑρμῆν τὰς ἀστρορρύσεις δὲ φησὶ καὶ τοὺς κομήτας.
Πῶς εἱμαρμένης τὸν Ἑρμῆν υἱὸν δὲ ὀνομάζει,
υἱὸν τελοῦντα οὐρανοῦ τοῦ πρὸς ἀέρα, μάθε.
Κομῆται, ἀστρορρύσεις τε, διάττοντες, καὶ τἆλλα
ἅπερ εἰσὶν Ἑρμαϊκὰ καὶ Ἄρεος ἀστέρος,
ἀέρος περιττώματα καθέστηκε καὶ πάθη.

(159) Il. 21, 258. A B, τὸ πῦρ πρὸς ἐν. Il. 13, 688 : φλογὶ εἴκελον Ἕκτορα δῖον.

(160) A B, καὶ τῆς θαλ. C M, ἢ καὶ θαλ.

(161) A B, διός.

(162) Il. 24, 287, 290.

(163) Il. 24, 291.

(164) Il. 24, 301, 308, 314. Scripsi Ζεῦ pro Ζεύς, et sic reperi in M.

(165) Il. 24, 331.

(166) Il. 24, 333. A M, γε.

(168) M, πρὸς ἀέρος.

(169) C, διατάττοντες. Quam permutationem attigi ad Pselli Opuscula p. 33; cujus verba αἱ τῶν διαττόντων ὑποδρομαὶ librarii nonnulli corruperant, scribentes διὰ τούτων, σιαττόντων, διατεττόντων. Idem p. 136 : τοὺς διάττοντας τῶν ἀστέρων. Synesius Insomniis p. 136 : ὁρῶσι σοφοὶ τὸ μέλλον, οἱ μὲν ἄστρα εἰδότες, ἄλλος τὰ μένοντα, καὶ ἄλλος τὰ πυρσὰ τὰ διάττοντα. Ammianus Marcellinus 25, 2 : « erat nitor igneus « iste quem διαΐσσοντα (immo διάσ« σοντα, vel διάσσοντα) appellamus, « nec cadens unquam, nec terram contin« gens », et cætera apud ipsum quærenda, cum notis Lindenbrogii et Valesii. Seneca Q. Nat. 1, 1, 4 : « ex hac vexatione (aeris) « nascuntur trabes et globi, et faces et « ardores », et reliqua pulchre descripta, ad quæ videsis Ruhkopf et Kœler. Pro διάττοντες dixit διατρέχοντες superius versu 24.

(170) Conf. v. 26.

(171) Πάθος, πάθημα sæpius reperiuntur de phænomenis cœlestibus et aeriis, latine, nec male, passionibus. Plato Hippia Majore § 11 : ἐκεῖνα ἃ σὺ κάλλιστα ἐπίστασαι, τὰ περὶ τὰ ἄστρα καὶ τὰ οὐράνια πάθη. Et Ione p. 531, recensens argumenta versuum Homeri, ipsum ait λέγειν καὶ περὶ τῶν οὐρανίων παθημάτων. Maximus Tyr. Diss. 16, 1, erit pro interprete. Homerus, inquit, πάντα ἐπεσκόπει ὅσα οὐρανοῦ κινήματα, ὅσα γῆς παθήματα, ἡλίου φῶς, ἄστρων χορὸν, ἀέρων μεταβολὰς, κ. τ. λ. Qui in Platone οὐράνια παθήματα intelligunt de rebus quæ in cœlis, in Olympo aguntur a deis, refutantur omnino illo ipso Maximi loco, quo tamen suam tuentur opinionem. Philostratus Her. p. 709 ἔκλειψις ἡλίου ἐγένετο· παρελθὼν ὁ Παλαμήδης τὸ πάθος τοῦ ἡλίου διεξ-

Ἐπεὶ δὲ ταῦτα γίνεται σημεῖα τῶν μελλόντων,
τῆς εἱμαρμένης ὁ Ἑρμῆς οὕτω καλεῖται τέκνον.
Ἑρμῆς δ' ὡς τούτων ἑρμηνεὺς καὶ δηλωτὴς ἐκλήθη.
« Ἑρμεία, (σοὶ γάρ τε μάλιστά γε φίλτατόν ἐστιν
« ἀνδρὶ ἑταιρίσσαι, καί τ' ἔκλυες ᾧ κ' ἐθέλῃσθα)
« βάσκ' ἴθι, καὶ Πρίαμον κοίλας ἐπὶ νῆας Ἀχαιῶν
« ὣς ἄγαγ' ὡς μήτ' ἄρ τις ἴδῃ, μήτ' ἄρ τε νοήσῃ ».
Ὅρα τὸν μέγαν Ὅμηρον πῶς τῇ αὐτῇ μεθόδῳ
τῇ τῆς ἀλληγορίας δέ, καὶ οὐχ ἑτέρᾳ λέγω,
τὰ ταπεινὰ μὲν ἀνυψοῖ συνάμα καὶ γλυκάζει,
χειμῶνας, ὄμβρους, καί τινα τῶν εὐτελῶν πραγμάτων,
τὰ ὑψηλὰ καθέλκει δὲ πρὸς τὸ σαφὲς καὶ μέσον,
οἷα τὰ φυσικώτερα, καὶ τῆς ἀστρολογίας
καὶ τῶν μεγίστων δὲ τεχνῶν ὧν γράφει τῶν ἑτέρων,
πάντα ζυμῶν ἐν νέκταρι, κόμπου τε γράφων ἄτερ·
ὡς τῇδε νῦν ἀστρονομῶν, ἀστρολογῶν τε ἅμα,
καὶ γράφων εὐληπτότατα καὶ διαυγεῖ τῷ λόγῳ,
τὸ βάθος ἔνδον παρεικὼς καὶ τὰ κομψὰ τοῦ τύφου.

ἦλθε. Auctor Axiochi § 17 animam esse immortalem hac inter alias ratione evincere sibi videtur, quod possit homo ἀναβλέψαι εἰς τὸν οὐρανὸν, καὶ ἰδεῖν περιφορὰς ἄστρων καὶ δρόμους ἡλίου... ἐκλείψεις τε... ἰσημερίας τε καὶ τροπὰς.. ἀνέμους τε καὶ καταφορὰς ὄμβρων, καὶ τὰ τοῦ κόσμου παθήματα παραπήξασθαι εἰς τὸν αἰῶνα. Ibi Index Fischerianæ. Dion Chrys. Orat. 70, p. 373: ἐπίστασθαι τὰς περιόδους καὶ πορείας καὶ τὰ ἀποστήματα, πῶς ἔχουσι πρὸς ἄλληλα, ἡλίου τε καὶ σελήνης καὶ τῶν τοιούτων ἄστρων, καὶ τὰ οὐράνια πάθη. Nicephorus Gregoras conferatur apud Iahnium ad Glycam De Syntaxi p. xxxiij. Gregorius Naz. Orat. 34, p. 559: σὺ ἔγνως σελήνης φύσιν καὶ πάθη. Ibi Basilius Scholiis ineditis, quibus sæpius jam sum in commentariis usus: σελήνης φύσιν ὥσπερ καὶ ἡλίου ἀδύνατον εἰπεῖν, κἂν ἄλλοι ἄλλως ἐδόξασαν. Οἱ μὲν γὰρ μύδρον τὸν ἥλιον εἶπον, οἱ δὲ λιθώδη, οἱ δὲ τόδε καὶ τόδε, καθότι ἕκαστος ἐφαντάσθη, καὶ τὴν σελήνην ὁμοίως γεώδη καὶ κισσηροειδῆ, ἢ ὅτι ἂν ἡ αὐτονομία τῆς γνώμης τούτων ἀνέπλασε. Πάθη δὲ, οἷον αὐξήσεις, μειώσεις, ἐκλείψεις, καὶ ὅσα περὶ αὐτὴν γίνεσθαι πέφυκε.

(175-178) Il. 24, 334, 338. A B sine γε. C M, μάλιστά δε.

(179) A M, τῇ αὐτοῦ.

(180) A M, ἑτέρως λέγων.

(184) A, οἷον.

(185) M, ἑταίρων. Mox C M, δέ pro τε.

(188) A B, ὡς γράφ. A M, διαυγῆ. B C, διαυγεῖ.

Θέλων ἀποτελέσματα Ἑρμαϊκῶν γὰρ φάναι
ὧν ἓν καὶ ἡ ἐπίτευξις ὧνπερ τυχεῖν τις χρήζοι,
καὶ μὴν καὶ ἡ φιλίωσις καὶ ἡ συγκοινωνία,
εἰ καταρχὴν ποιήσει τις Ἑρμῇ καὶ τοῖς ἐκ τούτου,
καὶ ὡς τοιούτῳ δὲ καιρῷ Ἑρμαϊκῶν σημείων
Πρίαμος καταρξάμενος χωρεῖν πρὸς Ἀχιλέα
εὗρε τινὰ τῶν εὐγενῶν στρατοῦ τοῦ τῶν Ἑλλήνων,
παρ' οὗ στοργῇ πρὸς τὴν σκηνὴν ἐλθὼν τοῦ Ἀχιλέως,
οἰκτειρηθεὶς καὶ τούτῳ δὲ, καὶ μετασχὼν τραπέζης,
πάντων ὧν ἔχρηζε τυχὼν πρὸς Τροίαν ὑπεστράφη·
οὕτω μὲν ὤφειλεν εἰπεῖν, ἀφεὶς κομψῶδες γράφειν·
ὁ Ζεὺς καλέσας τὸν Ἑρμῆν υἱὸν αὐτοῦ, εἰρήκει·
« Πρὸς Ἀχιλέα κόμισον τὸν Πρίαμον, Ἑρμεία·
« σοὶ γὰρ ἔργον καθέστηκε τὸ φιλοῦν ἀνθρώπους ».
Πέδιλα μὲν Ἑρμαϊκὰ κινήσεις τούτων λέγει·
ῥάβδον χρυσῆν δὲ τὴν πυρὸς οὐσίαν ὀνομάζει,
ἐξ ἧς ἐπιστηρίζονται καὶ γίνονται τοιάδε,
ἤγουν τὸ πᾶν Ἑρμαϊκὸν, καὶ τούτων αἱ δυνάμεις,
αἱ τῶν ἀνδρῶν τὰ ὄμματα τῶν ἀνδρωδῶν, ἀγρίων,
ὁποῖος ἦν καὶ Ἀχιλεὺς, θέλγουσιν, ἡμεροῦσι,
τοὺς δὲ ὑπνώδεις καὶ δειλοὺς καὶ κατεπτοημένους,
ὁποῖος ἦν καὶ Πρίαμος, ἐγείρουσι τοῦ φόβου.

(190) M, ἑρμαϊκά.
(191) A B M, χρήζει. C, χρήζοι.
(193) A, καταρχὴν ποιήσει τὸν Ἑρμῆν καὶ τῆς. Sic B cum τοῖς pro τῆς. C, ποιήσοι τις Ἑρμῇ καὶ τοῖς. M, κατ' ἀρχὴν ποιήσει, quod potest servari, intellecto ποιήσει de sacrificio, quo sensu Latini facio verbo utuntur, Græci τῷ ῥέζω, vel ἔρδω. Verterim καταρχὴν ποιήσει, libamina dabit. Cf. v. 219.
(197) A B, στόργή. C M, στοργῇ.
(198) C, καὶ δεῖπνου.
(200) B C, κομψῶς δε. A M, κομψῶδες.
(204) Il. 24, 340.
(205) Il. 24, 344. A B M, τοῦ πυρός.
(207) A B C, τὰς δυνάμεις.
(208) A M, αἱ. B C, αἱ. A B, καὶ τῶν ἀνδραγρίων. M, καὶ τ. ἀνδρῶν ἀγρίων. C, quod dedi.
(210) M, καταπτ.
(211,212) Absunt ab A B.

Τὰ τοῦ Ἑρμοῦ, τοῦ λόγου δὲ, ἄλλως ἀλληγορεῖται.
« Βῆ δ' ἰέναι κούρῳ αἰσυμνητῆρι ἐοικὼς,
« πρῶτον ὑπηνήτῃ, τοῦπερ χαριεστάτη ἥβη ».
Οὐχ ὁ Ἑρμῆς μετήμειψεν· Ὅμηρος παίζων λέγει
ὡς θαυμαστόν τε καὶ γλυκὺν ποιήσῃ σοι τὸν λόγον,
ἐπεὶ δυνάμεις ὁ Ἑρμῆς ἔχει τὰς εὐοδούσας,
τὰς φιλιούσας, πάσας τε καὶ τῆς ἐπιτευξίας
τοῖς καταρχὴν ποιήσασιν Ἑρμαϊκοῖς Ἑρμῇ τε·
διά τινων ἀνθρώπων δὲ ποιεῖ τὰς ἐνεργείας,
ποιεῖ καὶ τῷ Πριάμῳ δὲ τότε πορευομένῳ

(212) M, ἀλληγοροῦται.

(213,214) Ex Il. 24, 347, 348.

(215) M, μετεμήψεν. Est μετήμειψεν sensu neutro. Frequens hæc activorum μετάμειψις. Ipsius verbi μεταμείβειν exempla non memini quidem, sed synonymum μεταβάλλειν sic sæpius fuit usurpatum. Vide libro Σ, 264, 265. Auctor Axiochi 3: κείσομαι σηπόμενος, εἰς εὐλας καὶ κνώδαλα μεταβάλλων. Ibi Fischer. indice. Antoninus Liberalis c. 21: Ἄγριος μετέβαλεν εἰς γῦπα. Ibi Werheyk. et Koch. Menander Sent. Sing. 114: χειμὼν μεταβάλλει ῥᾳδίως εἰς εὐδίαν. Euripides, qui in ea verbi significatione neutra frequens est, Iphig. T. 1090: μεταβάλλει δ' εὐδαιμονία. Plutarchus De prof. § 1: εἰς οὐκ ἔχουσαν ὑπερβολὴν ἀρετῆς διάθεσιν μεταβάλοι ἂν ὁ σοφός. Georgius Lapitha poemate ethico 278: εἰς κόπρον μεταβάλλοντα μετὰ τρίωρον χρόνον. Atque ex Latinis similia in promptu adsunt exempla. Sallustius loco nobili Cat. 6: « Ubi regium imperium... « in superbiam dominationemque conver- « tit ». Ibi Cortius. T. Livius 2, 3: « Li- « bertatem aliorum in suam vertisse ser- « vitutem inter se conquerebantur ». Plautus Mil. 2, 2: « Fere autem avortit ». Ibi Danz. Silius 1, 539: « Ultrix injusti vi- « bravit lancea belli ». Ibi D. Heinsius et Rupertius. Propertius 2, 16, 27: « O uti- « nam trajecta cava mea vocula rima Per- « cussas dominæ vertat in auriculas ». Ibi Huschkius Epist. ad Santen. p. 44. Idem 3, 17, 5: « Flamma per incensas citius « sedaret aristas ». Sed « sedaret » nunc, codicibus jubentibus, locum fecit lectioni « sedetur ». Sed neutrum bene latinum esse monstrabit Cn. Gellius apud homonymum Noctium Atticarum scriptorem 18, 12: « Postquam tempestas sedavit, Adherbal taurum immolavit ». Addesis Schoppium Verisim. 2, c. 1; Fruterium, Verisim. 2, p. 130, vel t. 1, p. 873 Facis Gruterianæ, Catulliana 23, 11: « Tantum abhorret « ac mutat » illustrantem; Davisium ad Minucium c. 7 de neutro « ostenderant »; virum doctiss. ad Lucanum 5, 287: « Nil « a tum est bellis si nondum comperit is- « tas Omnia posse manus », qui sibi multum creavit difficultatis ejusque inutilissimæ, « comperit » habens pro « compertum « est ». Vulgo et optime interpretes referunt verbum ad Cæsarem. Milites seditiosi oratione admirabilissima Cæsarem partim alloquuntur: « Respice canos... ad mor- « tem dimitte senes... spe trahis », partim de Cæsare loquuntur: « Rheni mihi Cæsar « in undis Dux erat, hic socius... nondum « comperit istas omnia posse manus... nos « fatum sciat esse suum ».

(216) A M, ποιήσει. A B M, σου.

(217) A B, δυνάμεις ἰσχυρὰς ἔχει.

(219) A B C, καταρχήν. M, κατ' ἀρχήν. Cf. v. 193.

νέον τοιοῦτον ἐντυχεῖν οἷον φασὶ τὰ ἔπη,
δι' οὗ τὸ πᾶν καὶ ἤνυσεν ὁ Πρίαμος, ὡς ἔφην.
Ἑρμῆν δὲ δι' ἀμφότερα καὶ τοῦτον ὀνομάζει,
διὰ τὸ κατ' ἐνέργειαν Ἑρμοῦ ἐπιφανῆναι,
καὶ τὰ κατ' Ἀχιλέα δὲ Πριάμῳ ἑρμηνεῦσαι.
Καὶ ἐριούνιον αὐτὸν δεόντως ὀνομάζει·
ὄντως γὰρ μέγα ὄφελος φανεὶς ἦν τῷ Πριάμῳ.
« Θεοειδὴς », ὡραῖος νῦν καθάπερ οἱ ἀστέρες·
« θεῶν », ἐκ τῶν ἀστέρων τις εἷς ὢν τῆς εἱμαρμένης·
« διάκτορος » ὁ μηνυτής· τὸ δ' « Ἀργειφόντης » πάλιν
ὁ ὢν ἐκ φόνου καθαρὸς, καὶ σωστικὸς Πριάμῳ.
« Θεοὶ δὲ μάκαρες » ταννῦν, στοιχεῖα, εἱμαρμένη·
τὰ μὲν στοιχεῖα εὔκρατα ὄντα, χειμῶνος ὄντος,
τὸν Ἕκτορα μὴ σήψαντα κείμενον πόσον χρόνον,
ἡ εἱμαρμένη δὲ θανεῖν ποιήσασα χειμῶνι.
Ὕπνον Πριάμου ὁδηγὸς, ὃν καὶ Ἑρμῆν νῦν λέγει,
πῶς φύλαξιν ἐπέβαλεν, ἢ ποδαπὸν καὶ ποῖον;
Ὕπνον τὴν ἡσυχίαν σοι νῦν λέγει τῶν φυλάκων·
γνωστὸς γὰρ ὢν ἐποίησεν αὐτοὺς ἐφησυχάσαι,

(224) Libri νέω τοιούτω, quod corrigendum fuit. M, φησί.
(226) A sine τά.
(227) Il. 24. 360
(229) Il. 24, 372. Cf. v. 157.
(230) Il. 24, 374. A M, εἷς ὤν. B, τις ἦν τῶν. C, εἷς τῶν.
(231) Il. 24, 378. M, Ἀγρειφόντης.
(232) A, σωστικῶς.
(233) Il. 24, 422. A B, εἱμαρμένης.
(235) Est σήψαντα ab σήπειν, vel inusitato σήπτειν. Ψ, 62, quod et M exhibet.
(237) Il. 24, 445. A, ὁδηγόν.
(238) Sic A B C M, ποδαπόν. Et C, codex optimus, ποδαπὸς exhibet Chil. 5, 933, in hisce verbis Phalaridis ad Stesichorum: Εἰ θέλεις γράφειν (cod. γράψαι), γράψον ἐμοῦ τὸν τρόπον, Οἷος αὐτὸς καθέστηκα καὶ ποδαπὸς δοκῶ δέ. Imo δοκῶ δε, codice monstrante ac jubente lege rhythmica. Passim sic peccatum in editione. Multus est hic loci Tzetzes de Phalaride, in fine mutilus: δεσμώτης κατεσχέθη. καὶ μολιβδοῦν ἱμάτιον ἀμφιεσθεὶς ἐτάχθη, Ἕως ἐξήχθη τοῦ πικροῦ καὶ ταλαιπώρου βίου. Sed quærit lector εἰς τί ἐτάχθη; plenior codex: ἐτάχθη Σαρῶ καὶ πτύφ τὸν πηλὸν τῆς ἀγορᾶς καθαίρειν, Ἕως... Alibi Tzetzes scripsit ποταπός. Cf. p. 63.
(239) In hoc versu deficit B. E regione hacce legitur notula manus recentioris: « Desunt 16 versus. Vid. ms. 808 ». Qui ms. 808 idem est meo A, nunc numero 2707, olim DCCCVIII, 878, 2800.

μηδὲ ποιῆσαι θόρυβον, ὡς εἰ παρῆν τις ξένος.
« Ὦ γέρον, ἤτοι ἐγὼ θεὸς ἄμβροτος εἰλήλουθα »·
« θεὸς », ἀνδρὸς κατάρχοντος παῖς, οὐ βροτὸς καὶ πένης.
Τὸ δεύτερον ἀθάνατον θεὸν ἐξοβελίζειν.
« Μακρὸν νῦν Ὄλυμπον » φησὶ τὴν ἀρχικὴν οἰκίαν
« θεοῖς δὲ ἐπιείκελε », τοῖς ἄστρασιν ἐμοῖε.
« Ἀλλὰ αἰδέσθητι θεούς »· τίνας ἐνταῦθα λέγει;
καὶ ψυχικὰς δυνάμεις νῦν, ἤτοι τὰς ἱκεσίας,
καὶ τὰ στοιχεῖα δὲ αὐτά, ἥλιον, γῆν, καὶ τἄλλα.
Οἱ δὲ θεοὶ πάλιν καὶ Ζεὺς καὶ τοῦ Διὸς τὸ δῶμα,
ἀστέρες εἱμαρμένης τε εἰσί, καὶ εἱμαρμένη
οὔτε θεοῖς, οὔτε βροτοῖς ἐνδόξοις ἢ ἀδόξοις
εἴτε σοφοῖς ἀνθρώποις τε καί γε τοῖς ζῶσι χύδην.
Θεοὶ Πηλεῖ οἱ δόντες δὲ πάλιν ἡ εἱμαρμένη.
« Καὶ οἱ θνητῷ ἐόντι θεὰν ποίησαν ἄκοιτιν »·
ἀξίας κατωτέρας τε καὶ τύχης ὑπηργμένῳ
σύζυγον ἐδωρήσαντο θεὰν καὶ βασιλίδα.
« Θεὸς » καὶ « οὐρανίωνες » πάλιν ἡ εἱμαρμένη.
« Διόθεν δὲ μοι ἄγγελος », ἐξ οὐρανοῦ σημεῖον.
« Ἐξ ὄμβρων τῶν ῥαγδαίων γὰρ καὶ τῶν λοιπῶν ἐγνώκειν·

(241) A, ὡσεί. C M, ὡς εἰ.
(242) Ex Il. 24, 460.
(244) Il. 24, 464. A, ἀθάνατον δὲ ἐξεβελίζειν. C, θεὸν ἐξοβ. Fortasse δέον, quod videtur firmari scholio Matraugianæ, ἐξοβελιστέον. M edidit: ὁ Τζέτζης ὀβελίζει. Dixerit δεύτερον, quia modo præcessit ἄμβροτος.
(245) Il. 24, 468. C, μακρὸν οὖν, scripto et ἀξίαν super οἰκίαν.
(246) Il. 24, 486.
(247) Il. 24, 503.
(250) Il. 24, 525, 527. Ex M sumsi οἱ δέ.
(252) A, οὔτε βροντοῖς. C M, οὐδὲ βροτοῖς. Respectu ad Il. 24, 533. Locus est mutilus. In Matranga nil varietatis.
(254) Il. 24, 534. A sine δέ. M. Πηλοῖ.
(255) Ex Il. 24, 537. M, ἀκοίτην.
(256) M, τε. A C, δε.
(257) A, θεὸν καὶ βασιλέα, et βασιλίδα e correctione. C M, quod dedi.
(258) Il. 24, 538, 547. M, θεοί.
(259) Il. 24, 561.
(260) A, δέ. C M, γάρ. M, ἐγνώκει. Hærebam, et servavi tamen quod dederunt A C. Loquitur Achilles; se cognovisse ait ex pluviis violentibus aliisque signis ipsum non sine duce, eoque deo, huc pervenisse. Jam vidimus v. 113 ac seqq. ῥαγδαῖον ὑετὸν καὶ τῶν στοιχείων σύγχυσιν allegoria Thetidos itineris significari.

« Θεῶν τις ἡγεμόνευε », χρηστή τις εἱμαρμένη,
ἢ εὐγενής, γενναῖος τις ἐκ γένους τῶν Ἑλλήνων.
Τὸ δὲ « Διὸς δ' ἀλίτωμαι τὰς ἐφετμὰς » νῦν νόει·
μή πόρρω τι τοῦ λογισμοῦ τοῦ πρέποντος ποιήσω
ἢ ὃ οὐ χρὴ τοὺς ἀρχικοὺς ποιεῖν καὶ βασιλέας.
« Καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,
« τῇπερ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
« ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες·
« τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο
« χωόμενος Νιόβῃ, τὰς δ' Ἄρτεμις ἰοχέαιρα,
« οὕνεκ' ἄρα Λητοῖ ἰσάσκετο καλλιπαρῄω.
« Φῆ δοιὼ τεκέειν· ἡ δ' αὐτὴ γείνατο πολλούς.
« Τὼ δ' ἄρα, καὶ δοιώ περ ἐόντ', ἀπὸ πάντας ὄλεσσαν.
« Οἱ μὲν ἄρ' ἐννῆμαρ κέατ' ἐν φόνῳ, οὐδέ τις ἦεν
« κατθάψαι· λαοὺς δὲ λίθους ποίησε Κρονίων.
« Τοὺς δ' ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ οὐρανίωνες.
« Ἡ δ' ἄρα σίτου μνήσατ', ἐπεὶ κάμε δακρυχέουσα.
« Νῦν δέ που ἐν πέτρῃσιν, ἐν οὔρεσιν οἰοπόλοισιν,
« ἐν Σιπύλῳ ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰς
« Νυμφάων, αἵτ' ἀμφ' Ἀχελώϊον ἐρρώσαντο,
« ἔνθα λίθος περ ἐοῦσα θεῶν ἐκ κήδεα πέσσει ».
Ὅμηρος τὴν Νιόβης σοι νῦν ἱστορίαν εἶπεν·
ἡμεῖς δ' ἠλληγορήσαμεν πρὶν τῇ Αὐγούστῃ τάδε,

(261) Il. 24, 564. A M, θεῶν τις ἦγε δὲ καὶ σέ. Homerus il. 24, 564: γινώσκω ὅττι θεῶν τις σ' ἦγε. C et varietas in M, θεῶν τις ἡγεμόνευε καὶ σὲ χρηστή τις εἱμαρμένη. Qui versus, deletis delendis, melior est altero. A M, iotacismi lusu, χρηστότης.
(263) Il. 24, 570. A, ἀολίτωμαι. M sine δ'. C sine τάς
(264) A, πόρτι... ποιήσαι.
(265) A, ἢ ὃ χρή. C, ἢ ὅυ χρή, confusis ὃ οὐ in unam syllabam. M, ἢ ὃ οὐ χρή.
(266-281) Ex Il 24, 602-617. — A sine Νιόβη. — A C M, οὕνεκα οἱ λητοῖ. — A, ἐγείνατο. — A, ἐν ἦμαρ. — A, καθάψαι... δεκάτω. — A, οἰονοπόλοισιν — A, ἀχελώϊον.
(282) A M, τῆς.
(283) Intelligenda allegoria historiæ Niobes, quæ inserta est Chiliadi 4, 416.

ὥνπερ σοι παραθήσομεν τὰ χρήσιμα κἀνθάδε.
Ἡβρύνετο, ἐκόμπαζε τοῖς τέκνοις ἡ Νιόβη,
ἐφρόνει ὑψηλότερα καὶ κρείττω τοῦ αἰθέρος,
συνέκρινε πρὸς οὐρανὸν αὐτήν τε καὶ τὰ τέκνα,
ἀπένειμε τὸ κρεῖττον δὲ καὶ ἑαυτῇ καὶ τέκνοις,
λέγουσα τάδε πρὸς αὐτήν, καὶ συμβιβῶσα τύφῳ·
« Δύο φωστῆρας οὐρανὸς κέκτηται τοὺς μεγάλους·
ἐγὼ δὲ τόσους ζῶντας τε, λαλοῦντας καὶ ἐμψύχους.
Ἀρ' οὐχὶ κρείττων οὐρανοῦ τελῶ καὶ τοῦ αἰθέρος » ;
Τοιαῦτα μὲν ἡ δυστυχὴς παισὶν ἁβρυνομένη·
ἀντιστρατεύεται δ' α τῇ τύχῃ τις παλαμναία,
αὐθημερόν τε θνήσκουσι πάντα λοιμῷ τὰ τέκνα.
Ἀπόλλωνα καὶ Ἄρτεμιν ἔφαν δὲ τούτους κτεῖναι·
ἡλίῳ γὰρ ἀνάκεινται ταῦτα καὶ τῇ σελήνῃ.
Ἐκ τοῦ θερμοῦ γὰρ καὶ ὑγροῦ γίνονται τὰ λοιμώδη.
Τὴν δὲ Νιόβην ἔφασαν ἔνδακρυν λίθον εἶναι,
ἔτι, παντὸς ἀναίσθητος τῷ πάθει γεγονυῖα,
πρὸς μόνον ἦν τὸ δάκρυον ἄγαν εὐαισθητεῦσα.
Καὶ τοὺς ἀνθρώπους οὕτω μοι τότε νοήσεις λίθους,

(284) Capiendum σοὶ videtur de Cotertza. Vide initium libri Π.

(285) A, ἠμβρύνετο. Cf. v. 293.

(286) C M, quod dedi. A, ὑψηλότερον et κρεῖττον. Chiliade 4, 436, quo ex loco plures versus huc sunt translati: Ἐφρόνει ὑψηλότερον καὶ κρείττω, mixtis non sine negligentia singulari numero ac plurali; sed est in C ὑψηλοτερα καὶ κρείττω. Allegoriam a se propositam unice veram esse Tzetzes ait, et poetarum narrationes meras esse, elegantes quidem, fabulas: Ταῦτα κομψὰ μυθύδρια· τὸ δ' ἀληθὲς τοιοῦτον. Obiter notandum codicem C hic et Chil. 5, 763, non μυθύδρια exhibere, sed μυθίδρια. Potest conferri n. ad Pachymeris Decl. de λογίδριον, λογύδριον.

(287) A C, αὐτήν. C, αὐτήν.

(288) A, αὐτήν. C M, αὐτὴν, et sic Chil. 4, 439.

(293) A, ἀμβρυνομένην. Cf. v. 285. Idem mendum notatum fuit ad Hieroclis Facetias p. 278. In Saltatione Lucianea c. 2, variant ἐναβρυνομενον, ἐναμβρυνόμενον.

(298) A [illegible], γίνονται. C, γίνεται, ac sic Chil. 4, 448. Malui formam pluralem ob præcedens ἀνάκεινται.

(300) A, πάντως. A C M, τῷ πάθει. Varietas in M, τοῦ πάθους. Chil. 4, 450, ἐκ πάθους, et sic bonus codex, sed superscripto τῷ πάθει.

(302) A, νόησον. C M, νοήσεις, et sic Chil. 4, 452.

ἐκλιθωθέντας συμφορᾷ τῇ γενομένῃ τότε,
εἴτουν τῶν ἀπανθρώπων τε καὶ τῶν σκληροκαρδίων,
μὴ συνδραμόντων πρὸς αὐτὴν, μὴ κηδευσάντων τούτους.
Θεοὶ δὲ τούτους, βασιλεῖς, ἔθαψαν τῇ δεκάτῃ,
ἤγουν συνηκολούθησαν καὶ βασιλεῖς τῷ πάθει.
Εἰ δ' ὡς σκληροὺς νοήσειας λίθους μοι τοὺς ἀνθρώπους,
θεοὺς τότε μοι νόησον ὑπάρχειν τὰ στοιχεῖα,
τοιουτοτρόπως θάψαντας τὰ τῆς Νιόβης τέκνα·
σεισμοὶ, βρονταὶ, καταρραγαὶ χαλάζης γεγονυῖαι
τοὺς ἀκαμπεῖς κατέπεισαν θάψαι τοὺς τεθνηκότας.
Ὁ δὲ φασὶν, ὡς λίθινος δακρύει τῇ Σιπύλῳ,

(304) A C, εἴτουν. M, δτ' οὖν, cum variantibus melioribus ἤγουν, εἴτ' οὖν.

(305) A, κυδησάντων τοῦτον. Chil. 4,435, πρὸς αὐτούς, et sic codex bonus, sed superscripto αὐτήν.

(306) M, ἔδαψαν

(307) Chil. 4, 437 : ἢ ὡς συνηκολούθησαν. Codex 2644, ἤγουν συνεκ. De mala scriptura ἢ ὡς pro ἤγουν, vide n. ad Declamationes Pachymeris p. 12. Cramerus Anecd. Oxon. 3, p. 357, id scholium exhibet Tzetzæ ad Chiliadem 3, 832 : καπετώλιον] σημείωσαι τὴν ἀκρόπολιν [quæ verba monet omissa in A—2644 Sed monere liceat mihi oculato testi adesse in 2644]. τὸ κουλά [sic 2644, quod explicandum aliis relinquo]. Καπιτ δὲ οἱ Ῥωμαῖοι τὴν κεφαλὴν καλοῦσιν. Ἐκρωμένη [citat Cramerus lectionem Dubnerianam ἐκ Ῥώμης, quam reperio in 2644] γὰρ ἔκειτο καπιτ, ἤγουν ἡ κεφαλὴ Ὤλου τοῦ τυράννου. In codice 2644 pro ἤγουν compendium sic exaratum ut oculos decipere queat, legique ἤως. Sed doctissime Bastius ad Gregorii Dialectos, ac præsertim Epistola ad Boissonadium, malæ isti lectioni obviam ibat ne serperet. Nuper autem vir doctiss. in scholiis Oppianeis retinuisse ubique se monet lectionem ἤως, « quæ sæpius perquam distincte in eis legitur ». Quod si « perquam distincte » de scriptis totis litteris sit intelligendum, laudo diligentiam; sed vel sic malim divisim exhibere ἢ ὡς, « vel quasi, *vel ut*, veluti »: αὐλὸς ἢ ὡς σιφώνιον. Scilicet αὐλὸς velut σιφώνιον, αὐλὸς ἀντὶ τοῦ σιφώνιον.

(308) A, εἰδώς.

(310) M, τοιουτοτρόπῳ.

(311) A, κατ. θαλάσσης. C M. χαλάζης. Chil. 4, 460, θαλάσσης in Kiesslingiana quidem, sed vetus editio et bonus codex χαλάζης.

(313) C, ἡ δέ. Cogitabam de scribendo οἱ δέ. Tzetzes Chiliadis l. l., τινὲς δὲ λίθινον φασίν, quod mutationi οἱ δὲ favet, cui favet et iotacismus. Malui ὃ δὲ lectionem A, quam exhibet et M. C M, λίθινος. A, λίθος, hemistichio breviore. Ultimo historiæ versui in codice 2644 Chiliadum apposuit Tzetzes scholium in cujus fine herniam, animo numeroque Archilochi, furi imprecatur, qui historias a se scriptas, et amissas habuerit, nec reddere voluerit : ζήτει ἐφευρεῖν εἴ τις ἔχει τὰς λοιπὰς ἱστορίας, καὶ γράψον ταύτας, ἀλλὰ καὶ ὄπισθεν ἐν τῷ τῶν ἱστοριῶν πίνακι ἀναπλήρωσον αὐτῶν τὰ κεφάλαια· εἰ δέ τις, ἔχων αὐτὰς, οὐ βούλεται δοῦναι, « Κήλην σὺν αὐταῖς τῶν πρεπουσῶν ἰσχέτω » Vernacule possumus reddere optime κήλην τῶν πρεπουσῶν, « une belle et bonne descente ». Nil habuit apud antiquos enterocelicus morbus

τοιοῦτον εἶναι νόησον, ὥσπερ ἐγώ σοι φράσω,
λίθον ξεσθέντα τεχνικῶς ὥστε δοκεῖν δακρύειν.
« Θεοῖσι » νῦν τοῖς ἄστρασιν, ὡμοίωτο τῇ θέᾳ.
« Θεοὶ καὶ οἱ ἀνέρες » δὲ καθεύδοντες ἠρέμουν.
Θεοὺς ἐνθάδε νόησον εἶναί μοι τὰ στοιχεῖα.
« Ἑρμείας ἐριούνιος », ὁ εὐγενὴς ἐκεῖνος,
ὁ μεγαλωφελέστατος καὶ ἑρμηνεὺς Πριάμου,
ἢ ὁ τοῦ Νέστορος υἱὸς Ἀντίλοχος, ἢ ἄλλος.
« Ἑρμείας πρὸς τὸν Ὄλυμπον » ὁ ἀρχικὸς ἐκεῖνος
ἦλθε πρὸς ὕψος τὸ αὐτοῦ πάλιν ἐκ τῆς λατρείας,
τὴν ἣν ἐκὼν ἐλάτρευσε τῷ γέροντι Πριάμῳ.
« Ἰκέλη Ἀφροδίτῃ » δέ, ἴση ἐπιθυμίᾳ.
« Τῷ ἴκελος ὃν ἔκτεινεν Ἀπόλλων ἐκτοξεύσας »,
ὅμοιος ὢν τοῖς θνήσκουσι θανάτῳ τῶν ὀξέων,
ἀλλὰ μὴ πολυχρόνιον νοσήσασι τὴν νόσον.
Ἔχεις τὸν ἆθλον ἅπαντα τοῦτον τῆς Ἰλιάδος

durius in se, quam quod ridiculos faciebat homines. Supersunt in herniosos epigrammata Græca Latinaque, et Hierocles, Facetiis p. 290, 291, de herniosis narravit ridicula.

(316) M, θεοῖσιν. Il. 24, 630.

(317) Il. 24, 677. M, θεοί τε καὶ ἀνέρες δὲ.

(319) Il. 24, 679.

(320) A, ἐρούνιος. C, μεγαλοφυλέστατος. Cf. n. ad Υ 147. In hoc versu deficit codex C, amisso ultimo folio, in cujus loco successerunt, ab altera manu, folia duo, ultimam continentia libri N partem a versu 150, initiumque libri Ξ ad versum 40. Inde factum est ut vir doctissimus properanter inspecto codicis fine, dixerit eo contineri Iliadis Allegorias non integras, librario in versu 39 libri Ξ calamum deponente.

(322) Il. 24, 694.

(324) A, τὴν ἐκών. Addidi ἣν implendo hemistichio. Formula τὴν ἣν nihil insoliti habet. Vide n. ad Σ, 390. Nunc reperio ἣν in M. Occasionem forte datam lucro apponam critico, et lacunam explere conabor in Eumathii narratione 9, p. 358 : ἐλεπόλει σῇ τὴν πατρίδα σὺν αὐτοῖς τοκεῦσιν ἀφῄρημαι. Post πατρίδα reperi in codice vocabulum breve compendiose scriptum, legendum, ut videtur, πᾶσαν, vel πάλαι. Phalaris Epist. 55 : ὁ μὲν γὰρ ἐν τῷ ζῆν ἀγαθὸς ἄδηλον εἰ μεταβαλεῖ πρὸς τὸ χεῖρον. Codex 1038 : εἰ μὴ μεταβαλεῖται. Media forma non est necessaria ; placet negatio. Alciphron 3, 58, 21 : χάρισμα δούς· bonus codex, χ. δ. ἔχειν. Sic Fragm. 2 : μεταδίδωμι δῆτα καὶ σοὶ δύο τούτων ἔχειν. Lucianus D. Mer. 14, 3 : πολὺ λεπτότερος ἦν, καὶ σμαράγδους οὐκ εἶχεν. Cod. 2956, σμαρ. ἐκεῖνος. Forsan, ἐκείνους.

(325) Il. 24, 699.

(326) Il. 24. 758. A, κτείνειεν. Recepi lectionem M.

ἐν τοῖς ἀλληγορήμασι τῷ Τζέτζῃ τελεσθέντα.
Ἤδη δ' ἐπ' ἄλλον ἄεθλον κράζει καιρὸς, ὡς κήρυξ.

(331) In fine A, librarius quot sint operis versus notavit : στίχοι ςτχκδ', scilicet 6624. Conf. Milleri viri doctissimi Catalogum Scorialensem p. 30. Equidem inveni descriptorum a me versuum numerum esse 6632, parem, quod spero quidem, numero describendorum.— Candidæ nimis ac puræ chartæ, typothetæ obsequutus, sedulo homini et diligenti, inseram e codice 2991 A ænigma cum solutione :

« Ὁ ποτέ μου πατὴρ, ἄρτι μου « παῖς. ἂν ᾖ (cod. ἤ) καλή μου τύχη, « πάλιν πατήρ μου· εἰ δὲ κακή μου « τύχη, ἄρτι μου παῖς. Δότε μοι τὸν « υἱόν μου, τὸν ἄνδρα τῆς μητρός « μου ».

Κατακρίτου τινὸς ὄντος ἐν φυλακῇ, προσέταξεν ὁ βασιλεὺς μὴ δοῦναι τὴν τροφήν· ἐρχομένη δὲ ἡ θυγάτηρ τοῦ κατακρίτου καὶ μὴ δυναμένη ἄλλως πως λαθεῖν τοὺς φύλακας, καὶ διαθρέψαι τὸν πατέρα, ἀπὸ τῶν οἰκείων μαζῶν τὸν πατέρα διέτρεφεν, μέχρις ὅτου (cod. μέχρισσότου) ὁ καιρὸς τῆς ἀποφάσεως ἐξενέχθη. Καθὼς οἱ τὸ τοιοῦτον ἄινιγμα τῆς γυναικὸς μὴ δυνάμενοι εἰπεῖν, μήτε γραμματικοὶ, μήτε φιλόσοφοι, προσέταξεν τὴν γυναῖκα ὁ βασιλεὺς εἰπεῖν τὸ τοιοῦτον αἴνιγμα· εἰποῦσα δὲ τὸ ἄινιγμα, ἠλευθέρωσε τὸν πατέρα αὐτῆς ἐκ τῆς φυλακῆς.

ΑΝΑΓΩΓΑΙ

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΥΡΟΥ

ΜΙΧΑΗΛ ΤΟΥ ΨΕΛΛΟΥ

ΜΙΧΑΗΛ ΤΟΥ ΨΕΛΛΟΥ ΑΝΑΓΩΓΗ

ΕΙΣ ΤΟΝ ΤΑΝΤΑΛΟΝ[1].

Πάλιν ἡμᾶς ἐπὶ τὰς ποιητικὰς πύλας[2] ἀνθέλκετε[3], ἀφ' ὧν μόλις ἐπὶ τὴν φιλόσοφον αὔλειον ἀνθειλκύσθημεν[4]. Ἐγὼ δὲ κἂν

[1] Usus sum editione Gesneri a. 1544 quam deinceps significabo littera G, codicibusque Parisinis 1182 et 3058, designandis hoc littera B, priore littera A. Lemmata sumsi ex B.

[2] Habuit ποιητικὰς πύλας ex Platonis Phædro § 49. Vide n. ad Choricium p. 108. Sequentia τὴν αὔλειον φιλόσοφον sunt persistentis in eadem metaphora. Librarius in A scripsit φιλοσοφ, relicta lacunula, veluti dubitans an exhiberet φιλόσοφον, aut φιλοσόφων, aut forsitan φιλοσοφικήν, exspectansque codicem in quo vocabulum posset legere totis exaratum litteris. Atqui in Procli Commentario ad Alcibiadem Priorem p. 17 Cusinianæ est varietas τῆς φιλοσόφου, et φιλοσοφικῆς, θεωρίας, meliorem illam eligente viro doctissimo. Julianus Cæsar Epist. 9: πολλὰ μὲν γὰρ ἦν φιλόσοφα παρ' αὐτῷ (βιβλία), πολλὰ δὲ ῥητορικά. Est varietas φιλοσόφων quam merito posthabuit Heylerus, qui pro sedula legendi diligentia meas commemorat notas ad Eunapium ac Marinum. Apud Psellum φιλοσόφων displicet post ποιητικάς, apud Julianum ante ῥητορικά. Electionem forsan redderet ancipitem genitivus nominis ποιητῶν, ῥητόρων. Athenæus 1, 2: Γαληνὸς ὃς τοσαῦτ' ἐκδέδωκε συγγράμματα φιλόσοφά τε καὶ ἰατρικά. Euripides, narrante Moschopulo, discipulus fuit Socratis ἐν τοῖς ἠθικοῖς καὶ φιλοσόφοις. Sententia usus est Scholiastes Hecubæ 12, βίον φιλόσοφον ζῇ· ac simili Philemon Lexico: βιῶ βίον φιλόσοφον. Ipse Psellus mox p. 349, τῆς φιλοσόφου σκέψεως. Latinis pariter « philosophus » adjective usurpatur, quæ enallage fit et in aliis utriusque linguæ nominibus. Molierus Misanthropo 1, 1: « Mon flegme est philosophe autant que votre bile ». Fortasse qui erat poetarum latinorum lector non indiligens meminerat præclari versus Pacuvii: « Ego odi homines ignava opera, philosopha sententia ». Potuit tamen nomen *flegme* quasi persona vestire quæ philosopharetur; ad quam opinionem me ducit responsum colloquentis: « Mais ce flegme, « Monsieur, qui raisonne si bien, Ce « flegme pourra-t-il ne s'échauffer de « rien ». Sic Cicero de villa scribens ad Quintum fratrem 3, 1: « Ea villa quæ nunc « est, tanquam philosopha videtur esse quæ « objurget ceterarum villarum insaniem ». In alio scenæ ejusdem versu: « Ce chagrin philosophe est un peu trop sauvage », epithetum « philosophe » συνωνυμεῖ τῷ « philosophique ». Conversio foret non improbabilis: philosopha ista morositas est paulo agrestior.

[3] Intelligendum de discipulis videtur, ad quos directæ sunt et oratiunculæ nonnullæ inter ejus opuscula reperiundæ a me edita Norimbergæ typis Campianis.

[4] G B, αὔλειον μετῳκίσθημεν ἢ ἀν-

ἀπώκνησα πρὸς τὴν τοιαύτην παλινῳδίαν[1], εἰ μὴ τὸ προβεβλημένον παρ' ὑμῶν[2] κρείττονος ἐδεῖτο τῆς ἐπισκέψεως· ἐπὶ γυμνὸν μὲν γὰρ τὸν μῦθον οὐκ ἄν ποτε αὐτὸς ἀφίξομαι[3] ἑκών. Εἰ δέ τις αὐτῷ[4], κρείττων τοῦ φαινομένου, ὑποκάθηται ἔννοια, δεῆσαν ποτὲ κατιέναι ἀπὸ τοῦ τῆς φιλοσοφίας ὕψους, ἐφήσω[5] τῇ γλώττῃ, ὥσπερ ῥεύματι πρὸς τὸ κάταντες φερομένῳ. Δεῖ γὰρ τὸν φιλόσοφον μὴ ἀεί ποτε ἀτρύτως[6] ἔχειν πρὸς τὰς τῶν ὄντων ὑποψίας, ἀλλὰ καὶ φιλόμυθον[7] εἶναί ποτε καὶ σπουδάζειν περὶ τὰ παίγνια· παιδιαὶ[8] δὲ τῷ φιλοσόφῳ μῦθος καὶ λέξις ἐπιτερπής, καὶ ἱστορία ἡ διαχέουσα τὴν ψυχὴν ἢ συστέλλουσα.

σιλχύσθημεν. Sequutus sum A, et propter ejus præstantiam, et quod nomini αὔλειον parum est aptum μετῳχίσθημεν. Præterea conjunctio ἢ varias esse lectiones ferme indicat, quas inter datur optio.

[1] Eodem schemate ἂν ἀπώκνησα utetur initio Allegoriæ de Sphinge p. 355. Παλινῳδία dictum est cum respectu ad decantatam illam Stesichori παλινῳδίαν non expresse significato, quod vocabuli usus pridem esset tritissimus. Joannes Chrysostomus Orationis De precatione tertiæ initio: ἑαυτῶν καταγνώσονται, ὡς τὸν ἔμπροσθεν ἠπατημένοι χρόνον, καὶ παλινῳδίαν ᾄσονται καὶ ἀπολογήσονται. Isidorus Pelusiota Epist. 3, 54: εἰ οὐδὲ εἰς γῆρας βαθὺ ἐληλακὼς παλινῳδίαν ᾄδεις, πότε μετανοήσεις; Demetrius Cydonius in meis Anecdotis Novis p. 297: εἰ δ' ἀπολύσασθαι βούλει τὰ κατηγορημένα, μίμησαι τὸν Στησίχορον τῇ παλινῳδίᾳ. Ibi nota, quam debuissem augere loco Aristideo cujus meminit Demetrius, sed qui mihi tunc præsto non adērat. Aristides igitur Orat. 21, p. 430: νῦν δ' ὥρα μοι τὸν Στησίχορον μιμήσασθαι τῇ παλινῳδίᾳ. Ibi Jebbius. Adde Davisium ad Maximum Tyr. Dissert. 27, 1.

[2] A, ἡμῶν.

[3] Accessit ποτε ex A. G B, ἀφίξωμαι. Pronunciatio neglectior confundebat hodieque confundit vocales ω ο, quam scriptura imitatur. Melissa Epistola inter Pythagoricas duodecima: τῷ γὰρ ἐσπουδασμένως ἐθέλειν τι ἀκοῦσαι περὶ γυναικὸς εὐκοσμίας καλὰν ἐλπίδα διδοῖ, ὅτι μέλλεις πολιοῦσθαι κατ' ἀρετάν. Inveni in codice τὸ, apta jam syntaxi verbi διδοῖ.

[4] G B, αὐτῳ. A, αὐτόν. Prætuli dativum, quum accusativus αὐτὸν ὑποκάθηται alienum videatur habere sensum.

[5] Subaudiendum forsitan ἐμαυτόν· ἐφήσω ἐμαυτὸν τῇ γλώττῃ.

[6] G B, ἀτρύχως.

[7] Aristoteles Metaph. 1, 2, p. 8: ὁ ἀπορῶν καὶ θαυμάζων οἴεται ἀγνοεῖν· διὸ καὶ φιλόμυθος ὁ φιλόσοφός πώς ἐστιν· ὁ γὰρ μῦθος σύγκειται ἐκ θαυμασίων.

[8] G A, παιδικά. B, παιδικαί, unde conjeci scribendum παιδιαί, ac scripsi, confirmatus vocibus vicinis παίγνια παίζωμεν, quum παιδικὰ sensum habeat hic alienum. Nam fabula, oratio jucunda, historia oblectatione et festivitate condita non sunt amores, τὰ παιδικὰ, philosophi, sed ex occasione lusus et contentæ mentis relaxatio. De nomine παιδικά Barth. ad Zachariam p. 326 meæ editionis; Markland. ad Maximum Tyr. 35, § 1; Iahn. Symbolis pp. 11, 101; notata mihi ad Philostrati Heroica p. 410; Bergk. De reliquiis comœdiæ p. 184. Statim τῷ accessit ex A,

Παίξωμεν[1] οὖν καὶ ἡμεῖς, εἰ δοκεῖ, περὶ τὸν ἐκ Διὸς ἐκφύντα[2] Τάνταλον, καὶ θεασώμεθα τοῦτον τῷ λόγῳ ὅπως ποτὲ, τῷ ἀέρι τὸν πάντα χρόνον περιποτώμενος, δειμαίνει μὲν τὴν ὑπερτέλλουσαν πέτραν, ἥτις ἀδαμαντίνοις[3] ὥσπερ καλῳδίοις ἀπῃωρημένη, καὶ μικρόν τι τῆς ἐκείνου ὑπερανέχουσα κορυφῆς[4], φοβεῖ μὲν[5] τῷ μέλλειν κατιέναι, οὐ κάτεισι δέ· ὁ δὲ τῷ φόβῳ κυμαίνεται[6], καὶ

[1] G B, παίξωμεν, et sic A forsitan, in quo passim litteræ ξ ζ eodem modo exarantur. Παίξω enim non est omnino doricum, et potuit hanc formam Psellus reperire in suo Platonis exemplari. Vide Winckelmann. ad Euthyd. p. 32.

[2] G B, ἐκ Διὸς φύντα. A, ἐκ Δ. ἐκφύντα, quæ præpositionum abundantia non est infrequens. Accessit ποτὲ ex A.

[3] Utitur verbis Euripidis Oreste 5: Διὸς πεφυκὼς, ὡς λέγουσι, Τάνταλος, Κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον Ἀέρι ποτᾶται, καὶ τίνει ταύτην δίκην, Ὡς μὲν λέγουσιν, ὅτι θεοῖς, ἄνθρωπος ὤν, Κοινῆς τραπέζης ἀξίωμ' ἔχων ἴσον, Ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον. Monebo in transcursu Euripidis locum obversatum esse Theodoro Hyrtaceno querenti Epist. 77 se ardere siti, ut Tantalus olim de quo tradit fabula τίνειν δίκην πικρὰν πρὸς Διὸς πατέρος· θεοῖς γὰρ συνεστιώμενος « Κοινῆς τραπέζης ἀξίωμ' ἔχων ἴσον », καὶ μυστηρίων ἠκροαμένος, εἶτ' ἐκεῖθεν κατιὼν καὶ τοῖς κάτω συνδιαιτώμενος, ἃ μὲν ἑώρα ἃ δ' ἠκροᾶτο γλώττῃ διεπόρθμευεν ἀκολάστῳ. Est πατέρος prava lectio editoris, male solventis codicis, quem vidi, compendium πρς, legendum πατρός. Proni fuerunt interpretes nostrates in reddendum græcum ἀδαμάντινος latinumque « adamantinus » vernaculis vocabulis « diamant, de diamant ». quos memini redarguere ad Philostrati Heroica p. 407. Nec semel id tetigi nomen; vide ad Philostrati Epistolam 19. Utilia monuerat olim Spanhemius ad Juliani Cæsares p. 202. Lud. Racinius: « Prométhée est attaché dans Eschyle à un « rocher avec des clous de diamant ». Æschylus: Ἀδαμαντίνων δεσμῶν ἐν ἀρρήκτοις πέδαις· quæ vincula sunt e ferro conflata durissimo. Pluto in Swiftii versibus catenas tenet adamantinas ac ferreas: « Gloomy Pluto, king of terrors, « Arm'd in adamantine chains ». Adi nunc Martinum v. egregium ad Timæum n. 83.

[4] G B, κεφαλῆς. A, κορυφῆς, ex Euripidis loco. Dion Chrys. Or. 6, p. 216, loco pulchro: οὐ τῷ σώματι μόνον, ἀλλὰ καὶ τῇ ψυχῇ τοῦ τυράννου περιπέπηγε τὰ ξίφη, ὥστε τὸν ἐν ᾅδου Τάνταλον, ὅν φασι « κεφαλῆς ὑπερτέλλοντα δειμαίνειν πέτρον », πολὺ ῥᾷον διάγειν. In Dione κεφαλῆς Porsonus ad Orestem esse ait ex glossa. Emperius κεφαλῆς servavit, idque prudenter, codicibus, ut videtur, id servantibus; sed potuit Porsonum nominare, ob viri auctoritatem.

[5] Ex A accessit μέν.

[6] Pindarus fragmento 88, quod est orationis λυρικωτάτης splendidum specimen, præivit dicens, ὃς πόθῳ μὴ κυμαίνεται. Quadam die, quum ipse θαύματι κυμαινόμενος hunc locum explicarem juveni non græce docto quidem, sed et ipsi poetæ, in convicia erupit: « Est-ce croyable? « est-ce possible? mais c'est cent fois pire « que H.! Au lieu de galimatias, je dirai « désormais *galipindare*, comme Voltaire « disait *galithomas*, si pourtant vous le « permettez ». Cui reponebam: « Vrai- « ment je ne le permets pas. Il faut faire « la part des idiômes. Dans les lyriques « anglais et allemands que vous entendez « bien, que de hardiesses qui doivent « étonner votre timidite, contrarier vos « idées de goût, de bon goût, comme nous « l'appelons! Mais n'abusez pas du bon « goût; il ne doit pas être exclusif. Le « spirituel Chamfort disait de Suard,

ταύτην δίδωσι δίκην τῆς ἀκολάστου γλώσσης [1] καὶ ξύγκλυδος.

Πρὶν ἢ δὲ τὰ τοῦ παιδὸς [2] ἐξέτασαι, τὸν τούτου πατέρα κατανοήσωμεν, ὅστις ἐστὶν ὁ Ζεύς. Ἐμοὶ δὲ τοῦτο δοκεῖ σπουδῆς ἄξιον πῶς ἀμφίβολον αὐτῷ τὴν γονὴν ὁ τοῦ δράματος ὑποκριτὴς [3] προσμαρτύρεται· « Διὸς » γάρ φησι [4] « πεφυκώς, ὡς λέγουσι, Τάν« ταλος ».

« homme de goût, si onc il en fut, mais trop « sévère, trop difficile à contenter : *Le « goût de M. Suard c'est du dégoût* ». Ταῦτα πεπαίσθω ἡμῖν, καὶ ἴσως ἱκανῶς ἔχει, ut ait Plato.

[1] G, γλώττης. A B, γλώσσης, quod sumsi ut Euripideum. Addidi καὶ ξύγκλυδος ex A, quod absens non desiderabatur. Est γλῶσσα ξύγκλυς, ni fallor, lingua quæ largo quasi flumine verba defundit, vel quæ cuncta undique collecta, vera cum falsis promiscua blaterat. Exemplum aliud non novi.

[2] G B, τὰ περὶ τ. π. A, τὰ τοῦ.

[3] Hic et inferius p. 350, ὑποκριτὴς capiendum de ipso tragœdiæ auctore.

